§ 57. Τούτοις καταπλαγέντα τὸν ὕπαρχον, οὐδεὶς φάναι[2] μέχρι τοῦ νῦν οὕτως ἐμοὶ διείλεκται, καὶ μετὰ τοσαύτης τῆς παῤῥησίας, τὸ ἑαυτοῦ προσθεὶς ὄνομα. Οὐδὲ γὰρ ἐπισκόπῳ, φησίν,[3] ἴσως ἐνέτυχες, ἢ πάντως ἂν τοῦτον διειλέχθη τὸν τρόπον, ὑπὲρ τοιούτων ἀγωνιζόμενος. Τἄλλα μὲν γὰρ ἐπιεικεῖς ἡμεῖς, Ὕπαρχε, καὶ παντὸς ἄλλου ταπεινότεροι, τοῦτο τῆς ἐντολῆς[4] κελευούσης, καὶ μὴ ὅτι τοσούτῳ κράτει, ἀλλὰ μηδὲ τῶν τυχόντων ἐνὶ τὴν ὀφρῦν αἴροντες. Οὗ δὲ Θεὸς τὸ κινδυνευόμενον, καὶ προκείμενον, τἄλλα περιφρονοῦντες, πρὸς ἑαυτὸν[5] μόνον βλέπομεν· πῦρ δὲ καὶ ξίφος καὶ θῆρες, καὶ οἱ τὰς σάρκας τέμνοντες ὄνυχες, τρυφὴ μᾶλλον ἡμῖν εἰσὶν ἢ κατάπληξις. Πρὸς ταῦτα ὕβριζε, ἀπείλει, ποίει πᾶν ὅ,τι ἂν ᾖ βουλομένῳ σοι, τῆς ἐξουσίας ἀπόλαυε. Ἀκουέτω ταῦτα καὶ βασιλεύς, ὡς ἡμᾶς γε οὐχ αἱρήσεις· οὐδὲ πείσεις συνθέσθαι τῇ ἀσεβείᾳ, κἂν ἀπειλῇς χαλεπώτερα.

§ 58. Ἐπειδὴ ταῦτα εἰπεῖν καὶ ἀκοῦσαι[2] τὸν Ὕπαρχον, καὶ τὴν ἔνστασιν μαθεῖν τοῦ ἀνδρός, οὕτως ἀκατάπληκτον, καὶ ἀήττητον, τὸν μὲν ἔξω πέμψαι καὶ μεταστήσασθαι, οὐκ ἔτι μετὰ τῆς αὐτῆς ἀπειλῆς, ἀλλά τινος αἰδοῦς καὶ ὑποχωρήσεως· αὐτὸν δὲ τῷ βασιλεῖ προσελθόντα, ὡς εἶχε τάχους, Ἡττήμεθα, βασιλεῦ, εἰπεῖν, τοῦ τῇσδε προβεβλημένου τῆς Ἐκκλησίας· κρείττων ἀπειλῶν ὁ ἀνήρ, λόγων στεῤῥότερος, πειθοῦς ἰσχυρότερος. Ἄλλον δή τινα πειρᾷν τῶν ἀγεννεστέρων, τοῦτον δὲ ἢ βιάζεσθαι φανερῶς, ἢ μὴ προσδοκᾷν εἴξειν ταῖς ἀπειλαῖς. Ἐφ' οἷς ἑαυτοῦ καταγνόντα τὸν βασιλέα, καὶ τῶν ἐγκωμίων τοῦ ἀνδρὸς ἡττηθέντα· θαυμάζει γὰρ ἀνδρὸς ἀρετὴν καὶ πολέμιος· μήτε βιάζεσθαι κελεῦσαι, καὶ ταὐτὸν τῷ σιδήρῳ παθεῖν, ὃς μαλάσσεται μὲν τῷ πυρί, μένει δὲ ὅμως σίδηρος. Καὶ τρέψαντα εἰς θαῦμα τὴν ἀπειλὴν τὴν μὲν κοινωνίαν οὐ δέξασθαι, τὴν μετάθεσιν[3] αἰσχυνόμενον, ζητεῖν δὲ ἀπολογίαν, ἥτις εὐπρεπεστάτη. Δηλώσει δὲ καὶ ταύτην ὁ λόγος.

§ 59. Εἰς γὰρ τὸ ἱερὸν εἰσελθὼν μετὰ πάσης τῆς περὶ αὐτὸν δορυφορίας, (ἦν δὲ ἡμέρα τῶν Ἐπιφανείων, καὶ ἀθροίσιμος·) καὶ τοῦ λαοῦ μέρος γενόμενος, οὕτως ἀφοσιοῦται τὴν ἕνωσιν.[2] Ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν. Ἐπειδὴ γὰρ ἔνδον ἐγένετο, καὶ τὴν ἀκοὴν προσβαλλούσῃ τῇ ψαλμῳδίᾳ κατεβροντήθη, τοῦ τε

---

§ 57. 2. Οὐδεὶς φάναι) Λέγεται. — 3. Φησίν.) Ὁ μέγ. Βασιλ. — 4. Τῆς ἐντολῆς.) Λουκ. κβ΄. 26. Ματθ. κ΄. 26. — 5. Πρὸς ἑαυτόν.) Τὸν Θεὸν δηλ.

§ 58. 2. Εἰπεῖν καὶ ἀκοῦσαι.) Ἐννοεῖται τὸ Λέγεται· οὕτω γὰρ ἐλλειπτικῶς δι' ἀπαρεμφάτων εἴθισται παρ' Ἕλλησι διηγουμένοις λέγεσθαι. — 3. Τὴν μετάθεσιν.) Ἀπὸ τοῦ Ἀρειανισμοῦ δηλ.

§ 59. 2. Ἀφοσιοῦται τὴν ἕνωσιν.) Πολιτικῶς δηλ. ἐν τῇ Ἐκκλησίᾳ πρὸς

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

λαοῦ τὸ πέλαγος εἶδε, καὶ πᾶσαν τὴν εὐκοσμίαν, ὅση τε περὶ τὸ βῆμα, καὶ ὅση πλησίον, ἀγγελικὴν μᾶλλον ἢ ἀνθρωπίνην, τὸν μὲν τοῦ λαοῦ προτεταμένον ὄρθιον, οἷον τὸν Σαμουὴλ[3] ὁ λόγος γράφει, ἀκλινῆ καὶ τὸ σῶμα καὶ τὴν ὄψιν καὶ τὴν διάνοιαν, ὥσπερ οὐδενὸς καινοῦ γεγονότος, ἀλλ' ἐστηλωμένον, ἵν' οὕτως εἴπω, Θεῷ καὶ τῷ βήματι, τοὺς δὲ περὶ αὐτὸν ἑστηκότας ἐν φόβῳ τινὶ καὶ σεβάσματι. Ἐπειδὴ ταῦτα εἶδε, καὶ πρὸς οὐδὲν παράδειγμα ἠδύνατο θεωρεῖν τὰ ὁρώμενα, ἔπαθέ τι ἀνθρώπινον· σκότου καὶ δίνης πληροῦται τὴν ὄψιν καὶ τὴν ψυχὴν ἐκ τοῦ θάμβους. Καὶ τοῦτο ἦν τοῖς πολλοῖς ἄδηλον ἔτι. Ἐπεὶ δὲ τὰ δῶρα[4] τῇ θείᾳ τραπέζῃ προσενεγκεῖν ἔδει, ὧν αὐτουργὸς ἦν, συνεπελάβετο δ' οὐδείς, ὥσπερ ἦν ἔθος, ἄδηλον ὂν, εἰ προσήσεται, τηνικαῦτα τὸ πάθος γνωρίζεται· περιτρέπει γὰρ, καὶ εἰ μή τις τῶν ἐκ τοῦ βήματος ὑποσχὼν τὴν χεῖρα τὴν περιτροπὴν ἔστησε, κἂν κατηνέχθη πτῶμα δακρύων ἄξιον· εἶεν. Ἃ δὲ αὐτῷ διήλεκται τῷ βασιλεῖ, καὶ μεθ' ὅσης τῆς φιλοσοφίας, ἐπειδή γε αὖθις τρόπον τινὰ συνεκκλησιάσας ἡμῖν, εἴσω τοῦ παραπετάσματος[5] ἑαυτὸν ἐποιήσατο,[6] εἴς τε ὄψιν ἦλθε καὶ λόγους, ποθῶν ἐκ πλείονος, τί χρὴ λέγειν; Τί δ' ἄλλο γε, ἢ Θεοῦ φωνάς, αἳ τοῖς περὶ τὸν βασιλέα καὶ ἡμῖν τοῖς συνεισελθοῦσιν ἠκούσθησαν. Αὕτη γίνεται τῆς βασιλέως περὶ ἡμᾶς φιλανθρωπίας ἀρχὴ, καὶ κατάστασις πρώτη! Τοῦτο[7] λῆμμα τῆς τότε διοχλούσης ἐπηρείας τὸ πλεῖστον, ὥσπερ τι ῥεῦμα διέλυσε!

§ 60. Ἕτερον δὲ τῶν εἰρημένων οὐκ ἔλαττον. Ἐνίκων οἱ πονηροί,[2] καὶ κυροῦται κατὰ τοῦ ἀνδρὸς[3] ἐξορία, καὶ οὐδὲν ἀπῆν τῶν εἰς τοῦτο[4] φερόντων. Ἡ νὺξ παρῆν, ὁ δίφρος εὐπρεπής, οἱ μισοῦντες[5] ἐν κρότοις, ἐν ἀθυμίᾳ τὸ εὐσεβές,[6] περὶ τὸν πρόθυμον ὁδοιπόρον ἡμεῖς· τἄλλα, ὅσα τῆς καλῆς ἀτιμίας πάντα πεπλήρωται. Τί οὖν;[7]

---

τὸ φαινόμενον, οὐμὴν δὲ καὶ κατὰ τὸ δόγμα ἑνωθείς. — 3. Οἷον τὸν Σαμουήλ.) Βασιλ. Α'. κή. 14. Ἔνθα γυνὴ, ἐγγαστρίμυθος μαντευομένη Σαοὺλ, φησίν, ὅτι εἶδεν ἄνδρα ὄρθιον ἀναβαίνοντα ἐκ τῆς γῆς, καὶ οὗτος διπλοΐδα ἀναβεβλημένος καὶ ἔγνω Σαοὺλ, ὅτι οὗτος Σαμουήλ. — 4. Τὰ δῶρα.) Ταῦτα δὲ ἦν σκεύη χρυσᾶ, ἃ αὐτὸς κατεσκεύασεν ὁ βασιλεὺς, ὡς Νικήτας λέγει, τὸ Αὐτουργὸς ἐξηγῶν — 5. Τοῦ παραπετάσματος.) Παραπέτασμα λέγει Νικήτας τὸ καλούμενον Διακονικόν. — 6. Εἴσω ... ἑαυτὸν ἐποιήσατο.) Περίφρασις, ἀντὶ Εἰσῆλθεν. — 7. Αὕτη... Τοῦτο.) Πρὸς τὰ ἑπόμενα συμφωνοῦσιν Ἀττικῶς κατὰ γένος αἱ Ἀντωνυμίαι· ἔδει γὰρ εἰπεῖν ἐν πᾶσι Τοῦτο, ἵν' ᾖ, τὸ διαλεχθῆναι μετὰ τοῦ βασιλέως· ὃ δὴ καὶ τὸ λῆμμα, φασὶ, δηλοῖ, ὅπερ ἐστὶν ἡ γενναία καὶ συνετὴ διάλεξις.

§ 60. 2 Οἱ πονηροί.) Ἀρειανοὶ δηλ. — 3. Κατὰ τοῦ ἀνδρός.) Μέγ. Βασιλ. — 4. Τῶν εἰς τοῦτο.) Τὴν ἐξορίαν δηλ. πάντα δηλονότι ἦσαν ἕτοιμα, ὅσα συνετέλουν εἰς τοῦτο, τὴν ἐξορ. δηλ. — 5. Οἱ μισοῦντες.) Ἀρειανοί. — 6. Εὐσεβές.) Τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκριμένου· ἤτοι οἱ εὐσεβεῖς. — 7. Τί οὖν;) Συνέβη δηλ. λύει τὴν ἐξορίαν ταύτην θαύματι ὁ Θεός.

λύει ταύτην Θεός· Ὁ γὰρ πατάξας Αἴγυπτον[8] τὰ πρωτότοκα τραχυνομένης κατὰ τοῦ Ἰσραὴλ, οὗτος καὶ τὸν παῖδα τοῦ βασιλέως θραύει νόσου πληγῇ. Καὶ τὸ τάχος[9] ὅσον; Ἐκεῖθεν[10] τὸ γράμμα τῆς ἐξορίας, ἐντεῦθεν τὸ δόγμα τῆς ἀῤῥωστίας, καὶ ἡ χεὶρ ὑπέχεται τοῦ πονηροῦ γραφέως, καὶ ὁ ἅγιος ἀνασώζεται· καὶ γίνεται πυρετοῦ δῶρον ἀνὴρ εὐσεβὴς βασιλέα θρασὺν σωφρονίζοντος· τί τούτων ἐνδικώτερον ἢ ταχύτερον; Τὰ δὲ τούτων[11] ἑξῆς· Ἔκαμνεν ὁ παῖς τῷ βασιλεῖ,[12] καὶ πονήρως εἶχε[13] τοῦ σώματος· συνέκαμνε δὲ ὁ πατήρ. Καὶ τί γὰρ,[14] ἢ πατήρ; Πανταχόθεν ἐπιζητῶν ἐπικουρίαν τῷ πάθει, καὶ ἰατρῶν τοὺς ἀρίστους ἐκλεγόμενος, καὶ λιταῖς προσκείμενος, εἴπερ ἄλλοτέ ποτε, καὶ κατὰ γῆς ἐῤῥιμμένος. Ποιεῖ γὰρ καὶ βασιλέας ταπεινοὺς πάθος, καὶ θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ Δαβὶδ[15] πρότερον ταὐτὸ ἐπὶ τῷ παιδὶ πεπονθὼς ἀναγέγραπται. Ὡς οὐδὲν εὕρισκεν οὐδαμόθεν τοῦ κακοῦ φάρμακον, ἐπὶ τὴν πίστιν τοῦ ἀνδρὸς καταφεύγει, καὶ δι᾽ ἑαυτοῦ μὲν οὐκ εἰσκαλεῖ, τὸ τῆς ὕβρεως ὑπόγειον αἰσχυνόμενος, ἑτέροις δὲ τὴν πρεσβείαν ἐπιτρέπει τῶν οἰκειοτάτων ἑαυτῷ καὶ φιλτάτων. Καὶ ὃς[16] παρῆν, οὐδὲν ἀναδὺς, οὐδὲ τοῦ καιροῦ κατεξαναστὰς, ὥσπερ ἄλλος τις,[17] καὶ ὁμοῦ τῇ παρουσίᾳ, ῥᾴων ἡ νόσος γίνεται, καὶ χρηστοτέρων ὁ πατὴρ τῶν ἐλπίδων. Καὶ εἰ μὴ τὴν ἅλμην τῷ ποτίμῳ[18] ὕδατι συνεκέρασεν, ὁμοῦ τε τοῦτον εἰσκαλέσας, καὶ τοῖς ἑτεροδόξοις πιστεύσας, κἂν ὑγιείας τυχὼν ὁ παῖς ταῖς τοῦ πατρὸς χερσὶν ἀπεσώθη. Καὶ τοῦτο ἐπιστεύετο παρὰ τῶν τηνικαῦτα παρόντων, καὶ κοινωνούντων τοῦ πάθους.

§ 61. Τὸ δὲ αὐτὸ, καὶ τῷ Ὑπάρχῳ μικρὸν ὕστερόν φασι συμβῆναι. Κάμπτει καὶ τοῦτον ταῖς τοῦ ἁγίου χερσὶ συμπεσοῦσά τις ἀῤῥωστία. Καὶ ὄντως[2] πληγὴ τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται,

---

— 8. Πατάξας Αἴγυπτον.) Αὕτη γάρ ἐστιν ἡ τελευταία πληγὴ τῶν Αἰγυπτίων· Ἔξοδ. ια΄. 4. ιβ΄. 29. πολλῶν γὰρ καὶ ἄλλων σημείων γενομένων, οἱ Αἰγύπτιοι ἐσκληρύνοντο, καὶ οὐκ ἤθελον ἐᾶσαι τοὺς Ἑβραίους ἐξελθεῖν· ἀποθανόντων δὲ τῶν πρωτοτόκων πάντων, ἄκοντες εἴασαν αὐτοὺς φοβηθέντες. — 9. Καὶ τὸ τάχος.) Καὶ πόσον δηλ. ἦν τὸ τάχος. — 10. Ἐκεῖθεν.) Ἐπεξήγησις τοῦ τάχους. — 11. Τὰ δὲ τούτων.) Τὰ δὲ ἑξῆς καὶ ἀκόλουθα τούτοις ἦσαν τοιαῦτα. — 12. Τῷ βασιλεῖ.) Ἡ δοτικὴ διὰ τὸ πάθος· ἡ γὰρ τοιαύτη ἀντίπτωσις ἐν πάθεσι ψυχῆς μάλιστα ἥκει εἰς χρῆσιν. — 13. Πονήρως εἶχε.) Κακῶς δηλονότι διέκειτο τὸ σῶμα· Σημειούσθω δὲ ὅτι τὸ μὲν Πονηρῶς ἐπὶ ψυχῆς, τὸ δὲ Πονήρως ἐπὶ σώματος λαμβάνεται. — 14. Καὶ τί γάρ.) Καὶ τί γὰρ ἄλλο ἦν ὁ πατὴρ Οὐάλης ἢ πατὴρ υἱοῦ τοῦ κάμνοντος· δηλ. ἐποίει ὅσα τὸν πατέρα ποιεῖν ἡ φύσις διδάσκει. — 15. Ἐπεὶ καὶ Δαβίδ.) Ὁ γὰρ Δαβὶδ, ἐπειδὴ Νάθαν ὁ προφήτης εἶπεν αὐτῷ ὅτι τὸν ἐκ τῆς μοιχείας τῆς Βηρσαβεὲ γεννηθέντα αὐτῷ υἱὸν ἀποθανεῖν δεῖ, ἀσθενήσαντος, ἐνήστευε, πάντα ἐποίει ὑπὲρ τῆς σωτηρίας αὐτοῦ, οἷα πατήρ. Βασιλ. Β΄. ιβ΄. 15. — 16. Καὶ ὅς.) Ὁ μέγ. Βασίλ. — 17. Ἄλλος.) Τὶς Ἐποίησεν ἄν. — 18. Τὴν ἅλμην τῷ ποτίμῳ.) Ἅλμην μὲν λέγει τὴν Ἀρείου αἵρεσιν, πότιμον δὲ ὕδωρ τὴν ὀρθόδοξον πίστιν.

§ 61. 2. Καὶ ὄντως.) Ἡ πικρὰ Θεοῦ

Ε.Υ. ΔΤΗ Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ κρείττων εὐημερίας πολλάκις κακοπάθεια· ἔκαμνεν, ἐδάκρυεν, ἐδυσφόρει, προσέπεμπεν, ἠντιβόλει, τὴν ἀπολογίαν ἔχεις ἐβόα, δὸς σωτηρίαν. Καὶ μέν τοι[3] καὶ τυγχάνει ταύτης, ὡς αὐτός τε ὡμολόγει, καὶ πολλοὺς ἔπειθε τῶν οὐκ εἰδότων. Οὐ γὰρ ἐπαύετο τὰ ἐκείνου καὶ θαυμάζων, καὶ διηγούμενος.

§ 62. Ἆρ' οὖν τὰ μὲν πρὸς ἐκείνους αὐτῷ τοιαῦτα, καὶ εἰς τοῦθ' ἥκοντα τέλους, τὰ δὲ πρὸς ἑτέρους ἑτέρως· ἢ περὶ μικρῶν ἢ μικρὰ πεπολέμηται, ἢ μετρίως πεφιλοσόφηται, ἢ σιγῆς ἀξίως, ἢ οὐ λίαν ἐπαινετῶς; Οὐμενοῦν. Ἀλλ' ὁ κινήσας ποτὲ τῷ Ἰσραὴλ Ἄδερ τὸν ἀλιτήριον,[2] οὗτος κινεῖ καὶ τούτῳ τὸν τῆς Ποντικῆς μοίρας Ὕπαρχον, προφάσει μὲν ὡς ὑπὲρ γυναίου τινὸς ἀγανακτοῦντα, τὸ δ' ἀληθὲς τῆς ἀσεβείας ὑπερμαχοῦντα, καὶ κατὰ τῆς εὐσεβείας ἱστάμενον. Ἐῶ τἄλλα καὶ ὅσα καὶ οἷα κατὰ τοῦ ἀνδρὸς ἐξύβρισεν· ἴσον δὲ εἰπεῖν καὶ κατὰ τοῦ Θεοῦ, πρὸς ὃν καὶ δι' ὃν ὁ πόλεμος. Ὃ δὲ μάλιστα καὶ τὸν ὑβριστὴν ᾔσχυνε, καὶ τὸν ἀγωνιστὴν ὕψωσεν, εἴπερ τι[3] μέγα καὶ ὑψηλὸν ἡ φιλοσοφία, καὶ τὸ κρατοῦντα τῶν πολλῶν ταύτῃ φαίνεσθαι, τοῦτο δώσω τῷ λόγῳ. Γυναῖκά τινα τῶν ἐπιφανῶν ἐξ ἀνδρὸς[4] οὐ πρὸ πολλοῦ τὸν βίον ἀπολιπόντος, ὁ τοῦ δικαστοῦ σύνεδρος ἐβιάζετο, πρὸς γάμον ἕλκων ἀπαξιοῦσαν· ἡ δὲ,[5] οὐκ ἔχουσα ὅπως διαφύγῃ τὴν τυραννίδα, βουλὴν βουλεύεται οὐ τολμηρὰν μᾶλλον, ἢ συνετήν· τῇ ἱερᾷ[6] τραπέζῃ προσφεύγει, καὶ Θεὸν ποιεῖται προστάτην κατὰ τῆς ἐπηρείας. Τί οὖν ἔδει ποιεῖν, ὢ πρὸς τῆς Τριάδος αὐτῆς;[7] ἵν' εἴπω τι καὶ δικανικῶς[8] μεταξὺ τῶν ἐπαίνων, μὴ ὅτι[9] τὸν μέγαν Βασίλειον, καὶ τῶν τοιούτων ἅπασι νομοθέτην, ἄλλον δέ τινα τῶν πολὺ μετ' ἐκεῖνον, ἱερέα δὲ ὅμως; Οὐκ ἀντιποιεῖσθαι, κατέχειν, κήδεσθαι, χεῖρα ὀρέγειν Θεοῦ φιλανθρωπίᾳ καὶ νόμῳ τῷ τετιμηκότι θυσιαστήρια; Οὐ πάντα δρᾶσαι καὶ παθεῖν ἐθελῆσαι πρότερον, ἢ τι βουλεύεσθαι κατ' αὐτῆς ἀπάνθρωπον; καὶ καθυβρίσαι μὲν τὴν ἱερὰν τράπεζαν, καθυβρίσαι δὲ τὴν πίστιν μεθ' ἧς ἱκέτευεν; Οὔ φησιν ὁ κοινὸς δικαστής·[11]

---

πληγὴ πάντας τοῖς φρονίμοις διδασκαλία καὶ σωφρονισμὸς γίνεται. — 3. Καὶ μέντοι.) Ἀντὶ Καὶ δή· καὶ ἔστι βεβαιωτικός.

§ 62. 2. Ἄδερ τὸν ἀλιτήριον.) Καὶ ἤγειρε Κύριος σατὰν τῷ Σολομὼν τὸν Ἄδερ τὸν Ἰδουμαῖον, καὶ συνηθροίσθησαν ἐπ' αὐτὸν ἄνδρες, καὶ ἦν ἄρχων συστρέμματος, καὶ προκατελάβετο τὴν Δαμασκὸν καὶ ἦν σατὰν τῷ Ἰσραὴλ πάσας τὰς ἡμέρας Σολομών. Βασιλ. Γ'. ια'. 14. — 3. Εἴπερ τι.) Ἐπειδήπερ τι μέγα καὶ ὑψηλὸν ἡ φιλοσοφία, καὶ τὸ φαίνεσθαι ὅτι κρατεῖ τῶν πολλῶν τις ταύτῃ τῇ φιλοσοφίᾳ, εἴτ' οὖν θεοσεβείᾳ. — 4. Ἐξ ἀνδρός.) Γενομένην εἴτ' οὖν χηρεύσασαν. — 5. Ἡ δέ.) Γυνὴ ἐκείνη. — 6. Τῇ ἱερᾷ.) Ἐπεξήγησις τῆς βουλῆς. — 7. Ὦ, πρὸς τῆς Τριάδος αὐτῆς.) Ὦ ἀκροατὰ, εἰπέ μοι πρὸς τῆς Τριάδος αὐτῆς. — 8. Τί καὶ δικανικῶς.) Ἐν γὰρ τοῖς δικανικοῖς ἔθος χρῆσθαι τοῖς ἐπιφωνήμασι. — 9. Μὴ ὅτι.) Οὐ μόνον τὸν μέγ. Βασίλειον, ἀλλὰ καὶ ἄλλον τινὰ πολὺ ἐλάττονα ἐκείνου καὶ ἱερέα ὄντα. — 10. Οὐκ ἀντιποιεῖσθαι.) Ἔδει. — 11. Ὁ κοινὸς

ἀλλ' ἡττᾶσθαι χρὴ τῆς ἐμῆς δυναστείας, καὶ προδότας γενέσθαι Χριστιανοὺς τῶν οἰκείων νόμων. Ὁ μὲν ἐζήτει τὴν ἱκέτιν, ὁ δ' εἴχετο κατὰ κράτος, ὁ δ' ἐξεμαίνετο, καὶ τέλος πέμπει τινὰς τῶν ἐπ' ἐξουσίας τὸν τοῦ ἁγίου κοιτωνίσκον ἐξερευνήσοντας, οὐ κατὰ χρείαν μᾶλλον, ἢ ἀτιμίαν. Τί λέγεις; οἶκον ἐκείνου[12] τοῦ ἀπαθοῦς, ᾧ περιέπουσιν ἄγγελοι, ᾧ καὶ προσβλέπειν ὀκνοῦσι γυναῖκες; Καὶ οὐ τοῦτο μόνον· ἀλλὰ καὶ αὐτὸν παρεῖναι καὶ ἀπολογεῖσθαι κελεύει, οὐδὲ ἡμέρως καὶ φιλανθρώπως, ἀλλ' ὡς ἕνα τῶν κατακρίτων. Ὁ μὲν[13] παρῆν, ὁ δὲ[14] προὐκάθητο ἡγεμὼν θυμοῦ καὶ φρονήματος· εἱστήκει δὲ[15] οἷον ὁ ἐμὸς Ἰησοῦς, Πιλάτου κρίνοντος,[16] οἱ κεραυνοὶ δὲ ἠμέλουν, ἡ δὲ τοῦ Θεοῦ μάχαιρα ἐστιλβοῦτο ἔτι καὶ ἀνεβάλλετο, καὶ τὸ τόξον ἐξετείνετο μὲν, κατείχετο δὲ τῇ μετανοίᾳ καιρὸν ὑπανοῖγον, ὅς τις δὴ τοῦ Θεοῦ νόμος.[17] Ἄθρει δὴ πάλην ἑτέραν ἀγωνιστοῦ καὶ διώκτου· τὸ περιαυχένιον ῥάκος σφενδονᾶσθαι[18] προσέταττεν· ὁ δὲ,[19] προσαποδύσομαί σοι, φησὶν, εἰ βούλει, καὶ τὸ χιτώνιον. Τύπτειν ἠπείλει τὸν ἄσαρκον, ὁ δὲ ὑπέκυπτε· ξέειν τοῖς ὄνυξιν·[20] ὁ δὲ, ἰατρεύεις, φησὶ, τὸ ἧπαρ, ὁρᾷς ὅπως![21] μὲ κατατρύχον, τοῖς τοιούτοις θεραπεύων σπαράγμασιν.

§ 63. Οἱ μὲν οὖν[2] ἐν τούτοις ἦσαν. Ἡ δὲ πόλις, ὡς ᾔσθετο τοῦ καινοῦ πάντων κινδύνου· (κίνδυνον γὰρ ἕκαστος ἑαυτοῦ τὴν ὕβριν ἐνόμιζεν·) ἐκμαίνεται πᾶσα, καὶ ἀνάπτεται, καὶ ὡς καπνοῦ σμῆνος κινήσαντος, ἄλλος ἐπ' ἄλλῳ διεγείρεται καὶ ἀνίσταται. Γένος ἅπαν, καὶ ἡλικία πᾶσα, οἱ περὶ τὴν ὁπλοποιητικὴν[3] καὶ βασίλειον ἱστουργικὴν μάλιστα. Καὶ γὰρ εἰσὶ περὶ ταῦτα θερμότεροι, καὶ τὸ τολμᾷν ἐκ τῆς παῤῥησίας[4] ἔχοντες, καὶ πᾶν ἦν ὅπλον ἑκάστῳ τὸ παρὸν[5] ἐκ τῆς τέχνης, εἴτε τι ἄλλο τῷ καιρῷ τύχοι σχεδιασθέν· αἱ δᾷδες[6] ἐν χερσὶν, οἱ λίθοι προβεβλημένοι· τὰ ῥόπαλα εὐτρεπῆ· δρόμος ἁπάντων εἷς· βοὴ μία· προθυμία κοινή· θυμὸς,[7] ὁ δεινὸς ὁπλίτης, ἢ στρατηγός. Οὐδὲ γυναῖκες ἄοπλοι τηνικαῦτα, τοῦ καιροῦ

δικαστής.) Ὕπαρχος. — 12. Οἶκον ἐκείνου.) Πέμπει τοὺς ἐξερευνήσοντας οἶκον ἐκείνου. — 13. Ὁ μέν.) Μέγ. Βασίλ. — 14. Ὁ δέ.) Ὕπαρχος. — 15. Εἱστήκει δέ.) Ὁ μέγ. Βασίλ. — 16. Πιλάτου κρίνοντος.) Ματθ. κζ'. 11. . . . 26. — 17. Ὅς τις δὴ τοῦ Θεοῦ νόμος.) Φησὶ γὰρ ὁ Χριστός· οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν . . . . . . — 18. Σφενδονᾶσθαι.) Ῥίψαι δηλ. μετ' ὀργῆς. — 19. Ὁ δέ.) Μέγ. Βασίλ. — 20. Ξέειν τοῖς ὄνυξιν.) Ἀπὸ κοινοῦ τὸ Ἠπείλει. — 21. Ὁρᾷς ὅπως.) Ἰατρεύεις δηλ. τὸ ἧπαρ τόσον σκληρῶς μὲ κατατρύχον· τὸ γὰρ Ὁρᾷς ὅπως, θαυμαστικόν ἐστιν, ὑπερβολὴν τῆς θλίψεως δηλοῦν.

§ 63. 2. Οἱ μὲν οὖν.) Ὁ μέγ. Βασίλ. καὶ ὕπαρχ. ἐν τούτοις τοῖς λόγοις ἦσαν. — 3. Οἱ περὶ τὴν ὁπλοποιητικήν.) Καὶ μάλιστα ὅσοι τεχνῖται ὅπλων, καὶ ἱστουργίας βασιλικῆς. — 4. Ἐκ τῆς παῤῥησίας.) Ὡς βασιλικοὶ δηλ. ἄνθρωποι, καὶ εἰς βασιλικὰ ἔργα τεταγμένοι. — 5. Καὶ πᾶν. . . τὸ παρόν.) Καὶ ὅ,τι ἐτύγχανεν ἕκαστος εὑρίσκων, παρὰ τὸ τυχὸν, τὸ παρευρεθέν. — 6. Αἱ δᾷδες.) Ἐπεξήγησις τῶν ὅπλων. — 7. Θυμός.) Ἦν τοῦτο δὲ κοινὸν ἐν πᾶσιν· οἷον αἱ δᾷδες ἦσαν

θήγοντος, μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες· αἱ οὐδὲ γυναῖκες ἔμενον ἔτι τῷ ζήλῳ ῥωσθεῖσαι, καὶ εἰς ἀνδρῶν θάρσος μεταλλαττόμεναι. Βραχὺς ὁ λόγος.[8] Μερίζεσθαι τὴν εὐσέβειαν ᾤοντο, εἰ τοῦτον διέλοιντο·[9] καὶ οὗτος αὐτοῖς εὐσεβέστερος ἦν, ὃς πρῶτος ἐπιβαλεῖ χεῖρα τῷ τολμητῇ τῶν τοιούτων. Τί οὖν[10] ὁ σοβαρὸς ἐκεῖνος καὶ θρασὺς δικαστής; Ἱκέτης ἦν ἐλεεινός, ἄθλιος, τίνος οὐ ταπεινότερος;[11] ἕως ἐπιφανεὶς ὁ χωρὶς αἵματος μάρτυς,[12] καὶ χωρὶς πληγῶν στεφανίτης, καὶ βίᾳ τὸν λαὸν κατασχὼν αἰδοῖ κρατηθέντα, τὸν ἱκέτην ἑαυτοῦ καὶ ὑβριστὴν διεσώσατο.

§ 64. Ταῦτα[2] ὁ τῶν ἁγίων Θεός, ὁ ποιῶν πάντα καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον, ὁ τοῖς ὑπερηφάνοις[3] ἀντιτασσόμενος, ταπεινοῖς δὲ χάριν ἐπιμετρῶν. Τί δὲ οὐκ ἔμελλεν ὁ τεμὼν θάλασσαν,[4] καὶ ποταμὸν ἀνακόψας,[5] καὶ στοιχεῖα[6] τυραννήσας, καὶ χειρῶν ἐκτάσει[7] τρόπαια στήσας, ἵνα διασώσῃ λαὸν φυγάδα,[8] καὶ τούτων ἐξαιρήσεται τῶν κινδύνων. Ὁ μὲν δὴ κοσμικὸς πόλεμος, ἐνταῦθα ἐτελεύτησε, καὶ πέρας εἶχεν ἐκ Θεοῦ δεξιόν, καὶ τῆς ἐκείνου[9] πίστεως ἄξιον.

§ 65. Ἄρχεται δὲ ὁ πόλεμος, ἐνθένδε τῶν ἐπισκόπων καὶ τῶν ἐκείνοις συμμάχων, οὗ[2] πολὺ μὲν τὸ ἄδοξον, πλείων δὲ ἡ βλάβη τοῖς ἀρχομένοις. Τίς γὰρ ἂν τοὺς ἄλλους πείσειε μετριάζειν, οὕτω τῶν προεστώτων διακειμένων; Εἶχον μὲν γὰρ οὐδ' ἐκ πλείονος ἐπιεικῶς[3] πρὸς αὐτόν, τριῶν ὄντων τῶν ὑπαιτίων· οὔτε γὰρ τῷ τῆς πίστεως λόγῳ συνέβαινον, ὅτι μὴ πᾶσα ἀνάγκη,[4] τοῖς πλήθεσι βιαζόμενοι, οὔτε τὴν ἐπὶ χειρο-

---

ἐν χερσίν· οἱ λίθοι ἦσαν προβεβλημένοι· τὰ ῥόπαλα ἦν εὐτρ. καὶ τλ. — 8. Βραχὺς ὁ λόγος.) Τὸ παρ' ἡμῖν, οὐ χρεία πολυλογίας. — 9. Εἰ τοῦτον διέλοιντο.) Τὸν Ὕπαρχον. — 10. Τί οὖν;) Ποιεῖ. — 11. Τίνος οὐ ταπεινότερος;) Ἡ ἐρώτησις μετ' ἀρνήσεως κατάφασιν δηλοῖ, οἷον· παντὸς ἀνθρώπου ταπεινότερος. — 12. Ὁ χωρὶς . . . μάρτυς.) Μέγ. Βασίλ.

§ 64. 2. Ταῦτα.) Ποιεῖ. — 3. Ὁ Τοῖς ὑπερηφάνοις.) Ἰάκωβ. δ'. 5. καὶ Πέτρ. Α'. ε'. 5. — 4. Ὁ τεμὼν θάλασσαν.) Τὴν Ἐρυθράν, καὶ διῆλθον μὲν οἱ Ἰσραηλῖται μετὰ Μωϋσέως, ἐβυθίσθησαν δὲ οἱ Αἰγύπτιοι μετὰ Φαραώ· Ἔξοδ. ιδ'. 21 . . . 28. ὅρα καὶ σημειώσ. § 2. — 5. Ποταμὸν ἀνακόψας.) Ὅρα σημειώσ. § 2. — Ἀνακόψ. — 6. Καὶ στοιχεῖα.) Τὸ ὕδωρ δηλ. τῆς Ἐρυθρᾶς θαλάσσης καὶ τοῦ Ἰορδάνου· Σὺ δέ μοι πρόσθες καὶ τὸν ὑετὸν ἐπὶ Ἠλιοῦ τοῦ προφήτου· τρεῖς γὰρ ἐνιαυτοὺς καὶ μῆνας ἓξ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς. Βασιλ. Γ'. ιζ'. ιη'. καὶ τὸν βίαιον ἄνεμον εἰς τὸ ξηρανθῆναι τὴν Ἐρυθρὰν θάλασσαν· καὶ εἴτι τοιοῦτο. — 7. Χειρῶν ἐκτάσει.) Ἐλθόντος γὰρ Ἀμαλὴκ κατὰ τοῦ Ἰσραήλ, πέμπει Ἰησοῦν τὸν Ναυῆ Μωϋσῆς πρὸς αὐτόν, αὐτὸς δέ, ἀνελθὼν εἰς τὸ ὄρος, ἐξέτεινε τὰς χεῖρας αὐτοῦ, καὶ ἐν μὲν τῇ ἐκτάσει ἐνίκων οἱ Ἰσραηλῖται, ἐν δὲ τῷ καθήκειν αὐτάς, ἐνίκων οἱ Ἀμαληκῖται· ὅθεν ἐπιστηριζόντων αὐτὰς Ἀαρὼν καὶ Ὢρ, ἐτρέψατο Ἰησοῦς τὸν Ἀμαλήκ, καὶ πάντα τὸν λαὸν αὐτοῦ, φονεύων· Ἔξοδ. ιζ'. 8 . . . 13. — 8. Λαὸν φυγάδα.) Τὸν τῶν Ἑβραίων ἐξ Αἰγύπτου φυγόντα. — 9. Τῆς ἐκείνου.) Τοῦ μεγ. Βασιλ.

§ 65. 2. Οὗ.) Πολέμου· ἀδοξία γὰρ μεγίστη τοὺς ἐπισκόπους πρὸς ἀλλήλους μάχεσθαι. — 3. Εἶχον γὰρ . . . ἐπιεικῶς.) Πρὸ πολλοῦ γὰρ οὐ διέκειντο ἐπιεικῶς πρὸς αὐτόν. Πρὸ πολλοῦ δηλ. οὐκ ἦσαν εὐνοοῦντες αὐτὸν διὰ τὰ ἑξῆς τρία αἴτια. — 4. Ὅτι μὴ πᾶσα ἀνάγκη.) Εἰμὴ ἐκ μεγάλης ἀνάγκης, ἐπει-

τονείᾳ μακροψυχίαν τελέως καταλελύκασι, καὶ τὸ παρὰ πολὺ[5] τῆς δόξης κρατεῖσθαι, πάντων βαρύτατον ἦν αὐτοῖς, εἰ καὶ ὁμολογεῖν αἴσχιστον. Ἐγένετο δὲ καὶ ἄλλη τις[6] διαφορά, ἣ ταῦτα ἐκαινοποίησε. Τῆς γὰρ πατρίδος[7] ἡμῶν εἰς δύο διαιρεθείσης ἡγεμονίας καὶ Μητροπόλεις, καὶ πολλὰ τῶν ἐκ τῆς προτέρας τῇ νέᾳ προσαγούσης, ἐντεῦθεν καὶ τὰ ἐκείνων[8] ἐστασιάσθη. Ὁ μὲν γὰρ[9] ἠξίου τοῖς δημοσίοις, καὶ τὰ ἡμέτερα συνδιαιρεῖσθαι, καὶ διὰ τοῦτο μετεποιεῖτο τῶν νεωστὶ προσελθόντων, ὡς αὐτῷ διαφερόντων ἤδη, κἀκείνου κεχωρισμένων. Ὁ δὲ[10] τῆς παλαιᾶς εἴχετο συνηθείας, καὶ τῆς ἐκ τῶν πατέρων ἄνωθεν διαιρέσεων. Ἐξ ὧν πολλὰ καὶ δεινὰ τὰ μὲν συνέβαινεν ἤδη, τὰ δὲ ὠδύνετο, ὑπεσπῶντο σύνοδοι[11] παρὰ τοῦ νέου μητροπολίτου, πρόσοδοι διηρπάζοντο, πρεσβύτεροι[12] τῶν Ἐκκλησιῶν οἱ μὲν ἀνεπείθοντο, οἱ δὲ ὑπηλλάττοντο. Ἐξ ὧν συνέβαινε καὶ τὰ τῶν Ἐκκλησιῶν χεῖρον ἔχειν διϊσταμένων καὶ ἀνατεμνομένων. Καὶ γάρ πως ταῖς καινοτομίαις χαίρουσιν ἄνθρωποι, καὶ τὰ σφῶν ἡδέως παρακερδαίνουσι, καὶ ῥᾷόν τι καταλῦσαι τῶν καθεστώτων, ἢ καταλυθὲν ἐπαγαγεῖν. Ὃ δὲ πλεῖον αὐτὸν[13] ἐξέμηνεν, αἱ Ταυρικαὶ πρόσοδοι[14] καὶ πάροδοι, αὐτῷ μὲν ὁρώμεναι,[15] ἐκείνῳ δὲ προσγενόμεναι· καὶ τὸν ἅγιον Ὀρέστην ἐκκαρποῦσθαι μέγα ἐτίθετο, ὡς καὶ τῶν ἡμιόνων λαβέσθαι[16] ποτὲ τοῦ ἀνδρὸς, ἰδίαν ὁδὸν ὁδεύοντος, εἴργων τοῦ πρόσω μετὰ λῃστρικοῦ συντάγματος. Καὶ ἡ σκῆψις[17] ὡς εὐπρεπής. Τὰ γὰρ πνευματικὰ τέκνα, καὶ αἱ ψυχαί, καὶ ὁ τῆς πίστεως λόγος, καὶ ταῦτα τὰ ἀπληστίας ἐπικαλύμματα, πρᾶγμα τῶν εὐπορίστων[18] καὶ τὸ μὴ χρῆναι δασμοφορεῖν κακοδόξοις. Πᾶς γὰρ ὁ λυπῶν κακόδοξος. Οὐ μὴν ὁ ἅγιος τοῦ Θεοῦ καὶ τῆς ἄνω Ἱερουσαλὴμ ὄντως μητροπολίτης ἢ συναπήχθη τοῖς πταίουσιν, ἢ

---

δὴ ἐβιάζοντο ὑπὸ τῶν πολλῶν. — 5. Καὶ τὸ παρὰ πολύ.) Καὶ τρίτον ἡ τοῦ ἀνδρὸς δόξα· ἣν ἐφθόνουν μάλιστα. — 6. Καὶ ἄλλη τις.) Παρὰ τὰς τρεῖς εἰρημένας. — 7. Τῆς γὰρ πατρίδος.) Διῄρητο Καππαδοκία ἡ πατρὶς τοῦ Θεολόγου εἰς δύο ἐπαρχίας εἰς πρώτην καὶ δευτέραν Καππαδοκίαν· καὶ εἰς δύο μητροπόλεις Καισάρειαν καὶ Τύανα. — 8. Τὰ ἐκείνων.) Τῶν ἐπισκόπων· εἴτ' οὖν, οἱ ἐπίσκοποι· ἦσαν δὲ Καισαρείας μὲν ὁ μέγ. Βασίλ. Τυάνων δὲ ὁ Ἄνθιμος — 9. Ὁ μὲν γάρ.) Τυάνων ἐπίσκοπος Ἄνθιμος. — 10. Ὁ δέ.) Μέγ. Βασίλ. Καισαρείας ἐπίσκοπος ὤν. — 11. Ὑπεσπῶντο σύνοδοι.) Ἀπέσπα δηλ. καὶ ἀφῃρεῖτο ὁ Τυάνων τοὺς ἐπισκόπους τῆς Καισαρείας. — 12. Πρεσβύτεροι.) Τὸ ὁμοιόπτωτον τοῖς μέρεσι, δέον κατὰ τὴν γενικὴν, διαφόρων ὄντων τῶν ἐν τοῖς μέρεσι ῥημάτων. Τοιοῦτο καὶ τὸ Πολλὰ καὶ δεινὰ τὰ μέν, τὰ δέ. ἀλλὰ τὰ τοιαῦτα ἔστι καὶ παρὰ τοῖς παλαιοῖς εὑρεῖν. — 13. Αὐτόν.) Τὸν Τυάνων ἐπίσκοπον Ἄνθιμον. — 14. Αἱ Ταυρικαὶ πρόσοδοι.) Οἱ καρποὶ καὶ τὰ προϊόντα τοῦ ἁγίου Ὀρέστου παρὰ τοῦ ὄρους Ταύρου μεταξὺ Κιλικίας καὶ Καππαδοκίας ὄντος συλλεγόμενα. Νικήτ. — 15. Ὁρώμεναι.) Ὡς διὰ τῆς αὐτοῦ χώρας τῷ μεγ. Βασιλ. κομιζόμεναι. — 16. Ὡς λαβέσθαι.) Ἀντὶ ὥστε λαβέσθαι. — 17. Καὶ ἡ σκῆψις.) Καὶ ἡ ψευδὴς πρόφασις ἦν εὐπρεπεστάτη· ἦν δὲ τὰ ἑξῆς. — 18. Πρᾶγμα τῶν εὐπορίστων.) Ἔστι πρᾶγμα εὐπόριστον τὰ τοιαῦτα. —

παριδεῖν ταῦτα ἠνέσχετο, ἢ μικρὰν τοῦ κακοῦ λύσιν ἐπενόει. Ἀλλὰ σκοπῶμεν ὡς μεγάλην καὶ θαυμασίαν. Καὶ τί γάρ;[19] ἢ τῆς ἐκείνου ψυχῆς ἀξίαν. Προσθήκην[20] γὰρ τῆς Ἐκκλησίας ποιεῖται τὴν στάσιν, καὶ τὴν συμφορὰν ὡς κάλλιστα διατίθεται, πλείοσιν ἐπισκόποις τὴν πατρίδα καταπυκνώσας. Ἐξ οὗ τί γίνεται; Τρία τὰ κάλλιστα, ψυχῶν[21] ἐπιμέλεια πλείων, καὶ τὸ πόλιν ἑκάστην τὰ ἑαυτῆς ἔχειν, καὶ τὸ λυθῆναι ταύτῃ τὸν πόλεμον.

§ 66. Ταύτης τῆς ἐπινοίας δέδοικα μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον· ἢ οὐκ οἶδ᾽ ὅ,τι καὶ εἰπεῖν εὐπρεπὲς χρή. Πάντα γὰρ τοῦ ἀνδρὸς θαυμάζων, οὐ μὲν οὖν ὁπόσον[2] εἰπεῖν δυνατόν, ἓν τοῦτο ἐπαινεῖν οὐκ ἔχω, (καὶ γὰρ ὁμολογήσω τὸ πάθος·) οὐδὲ ἄλλως τοῖς πολλοῖς ἀγνοούμενον, τὴν περὶ ἡμᾶς καινοτομίαν καὶ ἀπιστίαν,[3] οἷς οὐδὲ ὁ χρόνος τὴν λύπην ἀνάλωσεν. Ἐκεῖθεν γάρ μοι πάντα συνέπεσεν ἡ περὶ τὸν βίον ἀνωμαλία καὶ σύγχυσις, καὶ τὸ φιλοσοφεῖν μὴ δυνηθῆναι, ἢ μὴ νομίζεσθαι·[4] εἰ καὶ βραχὺς[5] τοῦ δευτέρου ὁ λόγος. Πλὴν εἴ τις ἐκεῖνο δέξαιτο ἡμῶν, τοῦ ἀνδρὸς ὑπεραπολογουμένων, ὅτι μεῖζον φρενῶν ἢ κατὰ τὰ ἀνθρώπινα, καὶ τῶν ἐνθένδε πρὶν ἀποδοῦναι μεταναστάς, πάντα ἐποιεῖτο τοῦ πνεύματος.[6] Καὶ φιλίαν αἰδεῖσθαι εἰδώς, ἐνταῦθα μόνον ἠτίμαζεν, οὗ Θεὸν ἔδει προτιμηθῆναι, καὶ πλεῖον ἔχειν τῶν λυομένων[7] τὰ ἐλπιζόμενα.

§ 67. Δέδοικα μὲν οὖν μὴ ῥαθυμίας ἔγκλημα φεύγων παρὰ τοῖς τὰ ἐκείνου πάντα ἐπιζητοῦσιν, ἀπληστίας περιπέσω γραφῇ, παρὰ τοῖς ἐπαινοῦσι τὸ μέτριον. Ὃ μηδ᾽[2] ἐκεῖνος ἠτίμαζε, τὸ Πᾶν μέτρον[3] ἄριστον, ἐν τοῖς μάλιστα ἐπαινῶν, καὶ παρὰ πάντα τὸν ἑαυτοῦ βίον φυλάξας. Ὅμως δὲ ἀμφοτέρους περιφρονῶν τούς τε λίαν συντόμους καὶ τοὺς ἄγαν ἀπλείστους, ὧδέ πως τῷ λόγῳ χρήσομαι.

§ 68. Ἄλλοι μὲν οὖν ἄλλο τι κατορθοῦσιν· οἱ δέ,[2] τινὰ τῶν τῆς ἀρετῆς εἰδῶν, ὄντων πλειόνων· ἅπαντα δὲ οὐδεὶς ἐπῆλθε πρὸς

---

19. Καὶ τί γάρ;) Εἰπεῖν δεῖ τὴν λύσιν ταύτην τοῦ κακοῦ· ἢ ἀξίαν. — 20. Προσθήκην.) Δηλ. ἐκ τῆς στάσεως ταύτης προσέθηκέ τι τῇ Ἐκκλησίᾳ ὄφελος ἐξ αὐτῆς ἑλκύσας. — 21. Ψυχῶν.) Ἐξήγησις τῶν τριῶν καλλίστων, ἃ ἐκ διαιρέσεως ταύτης ἐπέγασε.

§ 66. 2. Οὐ μὲν οὖν ὁπόσον.) Καθ᾽ ὑπερβολὴν δηλονότι καὶ ὑπὲρ πᾶσαν δύναμιν λόγου. — 3. Καὶ ἀπιστίαν.) Περὶ τοῦ ὅτι αὐτὸν Σασίμων ἐπίσκοπον ἐποίησε, λέγει μὴ θέλοντα· οὐδὲ γὰρ ἔδει ἄνδρα τοιοῦτον, καὶ φίλον μάλιστα, ἐντεῦθεν καὶ ψυχρότης μεταξὺ συνέβη αὐτοῖς φιλίας ἐν χρόνῳ τινί· ὅθεν καὶ ἄπιστον αὐτὸν καλεῖ, ὡς μὴ πιστὸν τῇ φιλίᾳ γενόμενον. — 4. Ἢ μὴ νομίζεσθαι.) Ὅτι φιλοσοφῶ δηλ. — 5. Εἰ καὶ βραχύς) Εἰ καὶ μικρὸν περὶ τοῦ δευτέρου φροντίζομεν. — 6. Ἐποιεῖτο τοῦ πνεύματος.) Ἴδια. — 7. Τῶν λυομένων.) Τῆς φιλίας δηλ. λυομένης.

§ 67. 2. Ὃ μηδ᾽.) Ὅπερ δὴ μηδ᾽ ἐκεῖνος ὁ Βασίλ. ἠτίμαζε· τοῦτ᾽ ἔστι κἀκεῖνος ἐτίμα· ἐν πᾶσι δὲ τὸ μέτριον. — 3. Πᾶν μέτρον.) Γνώμη δὲ αὕτη Κλεοβούλου ἑνὸς τῶν ἑπτὰ σοφῶν.

§ 68. 2. Οἱ δέ) Ἀντὶ Ἔνιοι δέ.

τὸ ἀκρότατον. Οὐκοῦν τῶν νῦν ὑμῖν γινωσκομένων, ἀλλ' οὗτος[3] ἄριστος ἡμῖν, ὃς ἂν τὰ πλείονα τυγχάνοι κατωρθωκὼς, ἢ ἓν ὅτι μάλιστα.[4] Ὁ δὲ,[5] οὕτω διὰ πάντων ἀφίκετο, ὡς εἶναι[6] φιλοτιμία τις φύσεως. Σκοπῶμεν δὲ οὕτως. Ἀκτησίαν τις ἐπαινεῖ, καὶ βίον ἄσκευον καὶ ἀπέριττον; ἐκείνῳ δὲ τί ποτε ἦν, πλὴν τοῦ σώματος, καὶ τῶν ἀναγκαίων τῆς σαρκὸς καλυμμάτων; Πλοῦτος δὲ, τὸ μηδὲν ἔχειν καὶ ὁ σταυρὸς,[7] ᾧ συνέζη μόνῳ, ὃν πολλῶν χρημάτων ἐνόμιζεν ἑαυτῷ τιμιώτερον. Ἅπαντα μὲν γὰρ[8] οὐδ' ἂν, εἰ βούλοιτό τις, δυνατὸν εἶναι κτήσασθαι, πάντων δὲ εἰδέναι καταφρονεῖν, καὶ οὕτω κρείττω τῶν ἁπάντων φαίνεσθαι. Οὕτω δὲ διανοηθεὶς, καὶ οὕτως ἔχων, βωμοῦ μὲν[9] οὐκ ἐδεήθη καὶ τῆς κενῆς δόξης, οὐδὲ δημοσίου κηρύγματος τοῦ, Κράτης Κράτητα Θηβαῖον ἐλευθεροῖ.[10] Εἶναι γὰρ, οὐ δοκεῖν, ἐσπούδαζεν ἄριστος· οὐδὲ πίθον ᾤκει[11] καὶ μέσην τὴν ἀγορὰν, ὥστε πᾶσι παρατρυφᾶν, καινὴν εὐπορίαν τὸ ἀπορεῖν ποιούμενος. Ἀφιλότιμος δὲ πένης ἦν καὶ ἀνήροτος,[12] καὶ πάντων ἐκβολὴν[13] στέρξας, ὧν ποτε εἶχε· κούφως διέπλει τὴν τοῦ βίου θάλασσαν.

§ 69. Θαυμαστὸν ἡ ἐγκράτεια, καὶ ὀλιγαρκία, καὶ τὸ μὴ κρατεῖσθαι τῶν ἡδονῶν, μηδ' ὡς ὑπὸ πικρᾶς καὶ ἀνελευθέρου δεσποίνης τῆς γαστρὸς ἄγεσθαι; Τίς οὕτω μᾶλλον ἄτροφος ἦν, οὐ πολὺ δὲ εἰπεῖν, καὶ ἄσαρκος; Τὰς μὲν γὰρ πλησμονὰς καὶ τοὺς κόρους, τοῖς ἀλογωτέροις ἀπέρριψε, καὶ ὧν ἀνδραποδώδης καὶ κάτω νενευκὼς ὁ βίος· αὐτὸς δὲ οὐδὲν ᾔδει μέγα τῶν μετὰ τὸν λαιμὸν ὁμοτίμων, ἀλλὰ τοῖς ἀναγκαίοις διέζη μόνον, ἕως ἔζην, καὶ μόνην ᾔδει τρυφὴν, τὸ μὴ τρυφῶν φαίνεσθαι· μηδὲ διὰ τοῦτο

---

3. Ἀλλ' οὗτος.) Ὁ ἀλλὰ ἐνταῦθα παρέλκει, εἰμή τις οὕτως εἴποι εὖ ἔχοντα. Οὐκοῦν ἀλλὰ τῶν νῦν . . . οὗτος ἡμῖν καὶ τλ. — 4. Ἢ ἓν ὅτι μάλιστα.) Τὸ Ὅτι μάλιστα ἐνταῦθα δηλοῖ τὴν τελειότητα τοῦ ἑνὸς τῆς ἀρετῆς εἴδους. — 5. Ὁ δέ.) Μέγ. Βασίλ. — 6. Ὡς εἶναι.) Ἡ ἐννοείσθω ἔξωθεν τὸ Δοκεῖ· ἵν' ᾖ· ὥστε δοκεῖ εἶναι, καὶ ἀποδοθῇ ἡ ὀνομαστική· ἢ γοῦν ἐστὶ τὸ Εἶναι ἀντὶ ὁριστικῆς· καὶ διὰ τοῦτο καὶ κατ' ὀνομαστικὴν ἡ ἀπαρεμφατική. — 7. Καὶ ὁ σταυρός.) Ἐκ τοῦ ἐν Εὐαγγελίοις ἐλήφθη· ἔνθα ὁ Κύριος λέγει· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήτω μοι. Μάρκ. ή. 34. — 8. Μὲν γάρ.) Ἐννοεῖται Ἔλεγεν, διὰ τὸν Γάρ. — 9. Βωμοῦ μέν.) Ἔστι βωμὸς κατ' Εὐστάθειον Ὀδυσ. Π΄. στίχ. κτίσμα τι ἁπλῶς ἀνάστημα ἐφ' οὗ ἐστι βῆναί τι καὶ τεθῆναι· ὅθεν ἐνταῦθα ἐννοεῖ, ὅτι οὐκ ἐδεήθη ὑψηλοῦ τινος τόπου, ἐφ' οὗ ἀναβὰς κηρύξῃ κατὰ Κράτητα, κενῆς δόξης ὀρεγόμενος. — 10. Ἐλευθεροῖ.) Ἀπὸ τῆς τῶν χρημάτων δουλείας δηλ. οὗτος γὰρ ἐπὶ ὑψηλοῦ τόπου στὰς, καὶ τὰ ἑαυτοῦ χρήματα τῷ κοινῷ παραθεὶς, τὰ ῥήματα ἐκεῖνα εἴρηκε. Διογ. Λαέρ. ἐν βίῳ Κράτητ. δ΄. — 11. Πίθον ᾤκει.) Κατὰ τὸν κυνικὸν Διογένη· οὗτος γὰρ ᾤκει ἐν πίθῳ, τὰ πάντα καταφρονήσας· οἰκοῦντι δὲ ἐν μέσῃ τῇ ἀγορᾷ πάντες μετεδίδωσαν αὐτῷ τῶν ἀναγκαίων, οὕτως ἐποιεῖτο τὸ ἀπορεῖν τρόπον καινῆς εὐπορίας. — 12. Ἀφιλότιμος . . . καὶ ἀνήροτος.) Ἀνεπίδεικτος δηλ. καὶ ἀπραγμάτευτος — 13. Ἐκβολήν.) Ἀπὸ μεταφορᾶς τῶν πλεόντων οἵτινες ἀποβολὴν ποιοῦνται τῶν ἀγωγήμων ἐν τρικυμίᾳ, ἵνα τὴν ναῦν ἐλαφρώσωσι, καὶ σωθῶσι.

δεῖσθαι πλειόνων, ἀλλὰ πρὸς τὰ κρίνα βλέπειν καὶ τὰ πτηνά, οἷς ἄτεχνον τὸ κάλλος, καὶ σχέδιος ἡ τροφή, κατὰ τὴν μεγάλην[2] παραίνεσιν τοῦ ἐμοῦ Χριστοῦ, καὶ σάρκα δι' ἡμᾶς πτωχεύσαντος, ἵν' ἡμεῖς πλουτισθῶμεν Θεότητα. Ἐντεῦθεν αὐτῷ τὸ ἓν χιτώνιον καὶ τριβώνιον, ἡ χαμευνία, καὶ ἡ ἀγρυπνία, καὶ ἡ ἀλουσία, τὰ ἐκείνου σεμνολογήματα, καὶ τὸ ἥδιστον δεῖπνον, καὶ ἡ ἅλες, ἡ κοινὴ καρυκεία, καὶ ποτὸν νηφάλιόν τε καὶ ἄφθονον, ὃ γεωργοῦσι πηγαί, μηδὲν πονουμένοις.[3] Ἐξ ὧν, ἡ μεθ' ὧν νοσοκομίαι, καὶ ἰατρεῖαι, τὸ κοινὸν ἡμῶν[4] ἐμφιλοσόφημα· ἔδει γάρ με τῶν ἀνιαρῶν τὸ ἴσον ἔχειν, τοῖς ἄλλοις λειπόμενον.

§ 70. Μέγα παρθενία, καὶ ἀζυγία, καὶ τὸ μετ' ἀγγέλων τετάχθαι, καὶ τῆς μοναδικῆς φύσεως;[2] ὀκνῶ γὰρ εἰπεῖν Χριστοῦ, ὃς καὶ γεννηθῆναι θελήσας διὰ τοὺς γεννητοὺς ἡμᾶς, ἐκ παρθένου γεννᾶται, παρθενίαν νομοθετῶν,[3] ὡς ἐνθένδε μετάγουσαν, καὶ κόσμον συντέμνουσαν, μᾶλλον δὲ κόσμον κόσμῳ[4] παραπέμπουσαν, τὸν ἐνεστῶτα τῷ μέλλοντι; Τίς οὖν ἐκείνου μᾶλλον, ἢ παρθενίαν ἐτίμησεν, ἢ σαρκὶ ἐνομοθέτησεν,[5] οὐ τῷ καθ' ἑαυτὸν ὑποδείγματι μόνον, ἀλλὰ καὶ οἷς ἐσπούδασε; Τίνος οἱ παρθενῶνες,[6] καὶ τὰ ἔγγραφα διατάγματα, οἷς πᾶσαν μὲν αἴσθησιν ἐσωφρόνιζε, πᾶν δὲ μέλος ἐρύθμιζε, καὶ ὄντως παρθενεύειν ἔπειθεν, εἴσω τὰ κάλλη στρέφων[7] ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ μὴ βλεπόμενα; Καὶ τὸ μὲν ἔξωθεν ἀπομαραίνων, καὶ τὴν ὕλην ὑποσπῶν τῆς φλογός, τὸ δὲ κρυπτὸν τῷ Θεῷ δεικνύς; ὃς μόνος τῶν καθαρῶν ψυχῶν ἐστι νυμφίος, καὶ τὰς ἀγρύπνους ἑαυτῷ συνάγει ψυχάς,[8] ἐὰν μετὰ λαμπρῶν τῶν λαμπάδων, καὶ δαψιλοῦς τῆς τοῦ ἐλαίου τροφῆς αὐτῷ ἀπαντήσωσι.

---

§ 69. 2. Κατὰ τὴν μεγάλην.) Ματθ. ϛ'. 25 . . 29. — 3. Μηδὲν πονουμένοις.) Ἡμῖν τοῖς ἀνθρώποις. Τοιοῦτο γὰρ τὸ ὕδωρ. — 4. Ἡμῶν.) Γρηγορίου καὶ Βασιλείου· τοῦτο γὰρ αὐτοῖς κοινὸν ἦν φιλοσόφημα τὸ ἐκ τῆς χαμευνίας, ἀλουσίας, καὶ ὑδροποσίας νοσεῖν, καὶ ἰατρεύεσθαι.

§ 70. 2. Μοναδικῆς φύσεως.) Τῶν ἀγγέλων· σύνθετος γὰρ φύσις ἡ ὁρατὴ ἐκ τῶν τεσσάρων συγκειμένη στοιχείων ἡ δὲ τῶν Ἀγγέλων ἁπλῆ καὶ μοναδική· ἔστι δὲ ἔτι ἡ καθ' ἡμᾶς φύσις σύνθετος ἐκ σώματος ὑλικοῦ καὶ ψυχῆς ἀΰλου· ἡ δὲ τῶν ἀγγέλων μοναδική, ὡς ἐξ ἀΰλου οὐσίας ὑπάρχουσα. — 3. Παρθενίαν νομοθετῶν.) Τῷ ἰδίῳ παραδείγματι πρὸς παρθενίαν τοὺς προαιρομένους ἐγείρων. — 4. Κόσμον κόσμῳ.) Παίζει τῇ ὁμωνυμίᾳ, καὶ κόσμον τὸν ἐνεστῶτα καλεῖ τοὺς ἐν τῇ γῇ ἀνθρώπους· τὸν δὲ μέλλοντα τὸν παράδεισον. — 5. Ἢ σαρκὶ ἐνομοθέτησεν.) Τῇ ἀνθρωπίνῃ, αὐτός τε παρθενεύων καὶ παρθενῶνας ποιούμενος, καὶ διατάγματα παρθενίας. — 6. Τίνος οἱ παρθενῶνες;) Ἐπεξήγησις, ἢ γοῦν κατασκευὴ τοῦ Καὶ οἷς ἐσπούδασε. — 7. Τὰ κάλλη στρέφων.) Ἀπὸ τῶν τοῦ σώματος εἰς τὰ τῆς ψυχῆς κάλλη. — 8. Καὶ τὰς ἀγρύπνους . . . ψυχάς.) Τὴν τοῦ Κυρίου τῶν δέκα παρθένων παραβολὴν αἰνίττεται. Τούτων γάρ, φησί, δέκα οὐσῶν αἱ μὲν πέντε φρόνιμοι, αἱ δὲ λοιπαὶ μωραί· ἀλλ' αἱ μὲν μωραὶ ἐξελθοῦσαι εἰς ἀπάντησιν τοῦ νυμφίου οὐκ ἔλαβεν μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι μετὰ τῶν λαμπάδων καὶ ἔλαιον εἶχον. Τοῦ δὲ νυμφίου κατὰ μέσης ἐλθόντος νυκτός, αἱ μὲν φρόνιμοι ἐκόσμουν τὰς λαμπάδας, αἱ δὲ μωραὶ ἀπῆλθον ἔλαιον ὠνήσασθαι· καὶ μὴ φθάσασαι ἀπεκλείσθησαν τῶν γάμων. Ματθ. κέ. 1. . . . 13.

§ 71. Τοῦ τοίνυν ἐρημικοῦ βίου καὶ τοῦ μιγάδος[2] μαχομένων πρὸς ἀλλήλους, ὡς τὰ πολλὰ, καὶ διϊσταμένων, καὶ οὐδετέρου πάντως ἢ τὸ καλὸν, ἢ τὸ φαῦλον ἀνεπίμικτον ἔχοντος. Ἀλλὰ τοῦ μὲν,[3] ἡσυχίου μὲν ὄντος μᾶλλον, καὶ καθεστηκότος, καὶ Θεῷ συνάγοντος· οὐκ ἀτύφου δὲ, διὰ τὸ τῆς ἀρετῆς ἀβασάνιστον, καὶ ἀσύγκριτον· τοῦ δὲ[4] πρακτικωτέρου μὲν μᾶλλον καὶ χρησιμωτέρου, τὸ θορυβῶδες δὲ οὐ φεύγοντος, καὶ τούτους ἄριστα κατήλλαξεν ἀλλήλοις καὶ συνεκέρασεν· ἀσκητήρια καὶ μοναστήρια δειμάμενος μὲν, οὐ πόῤῥω δὲ τῶν κοινωνικῶν καὶ μιγάδων, οὐδὲ ὥσπερ τειχίῳ τινὶ μέσῳ ταῦτα διαλαβὼν καὶ ἀπ' ἀλλήλων χωρίσας, ἀλλὰ πλησίον συνάψας καὶ διαζεύξας· ἵνα μήτε τὸ φιλόσοφον[5] ἀκοινώνητον ᾖ, μήτε τὸ πρακτικὸν[6] ἀφιλόσοφον· ὥσπερ δὲ γῆ καὶ θάλασσα τὰ παρ' ἑαυτῶν ἀλλήλοις ἀντιδιδόντες,[7] εἰς μίαν δόξαν Θεοῦ συντρέχωσι.

§ 72. Τί ἔτι; Καλὸν φιλανθρωπία, καὶ πτωχοτροφία, καὶ τὸ τῆς ἀνθρωπίνης ἀσθενείας βοήθημα; Μικρὸν ἀπὸ τῆς πόλεως πρόελθε, καὶ θέασαι καινὴν πόλιν[2] τὸ τῆς εὐσεβείας ταμεῖον, τὸ κοινὸν τῶν ἐχόντων θησαύρισμα, εἰς ὃ τὰ περιττὰ τοῦ πλούτου, ἤδη δὲ καὶ τὰ ἀναγκαῖα ταῖς ἐκείνου παραινέσεσιν ἀποτίθεται, σῆτας ἀποσειόμενα, καὶ κλέπτας οὐκ εὐφραίνοντα, καὶ φθόνου πάλην, καὶ καιροῦ φθορὰν διαφεύγοντα. Ἐν ᾧ νόσος[3] φιλοσοφεῖται, καὶ συμφορὰ μακαρίζεται, καὶ τὸ συμπαθὲς δοκιμάζεται. Τί μοι πρὸς τοῦτο τὸ ἔργον ἑπτάπυλοι[4] Θῆβαι, καὶ Αἰγύπτιαι,[4] καὶ τείχη Βαβυλώνια,[6] καὶ Μαυσώλου[7] Καρικὸς τάφος, καὶ Πυραμίδες,[8] καὶ

---

§ 71. 2. Ἐρημικοῦ καὶ τοῦ μιγάδος.) Ἐρημικὸς μὲν βίος ὁ τῶν μοναχῶν καλουμένων, οἵτινες ἐν ἐρήμῳ τὸν βίον διάγουσιν, εἷς ἕκαστος χωρὶς τῶν ἄλλων· μιγὰς δὲ, ὁ ἐν Μοναστηρίοις καλουμένοις, ἔνθα πολλοὶ ὁμοῦ συμβιοῦσι. — 3. Τοῦ μέν.) Ἐρημικοῦ βίου. — 4. Τοῦ δέ.) Μιγάδος βίου. — 5. Τὸ φιλόσοφον.) Τὸ θεωρητικὸν δηλ. τοῦ ἐρημικοῦ βίου. — 6. Τὸ πρακτικόν.) Τοῦ μιγάδος βίου. — 7. Ἀντιδιδόντες.) Οἱ βίοι οὗτοι τὰ παρ' ἑαυτῶν πρὸς ἀλλήλους, ὥσπερ ἡ γῆ καὶ θάλασσα ἀντιδιδόασι πρὸς ἄλληλα τὰ προϊόντα.

§ 72. 2. Τὴν καινὴν πόλιν.) Τὸν οἶκον, ἔνθα ἐτρέφοντο οἱ πτωχοί· τὸ πτωχοτροφεῖον δηλ. ἐννοεῖ· καὶ τὸ νοσοκομεῖον. — 3. Ἐν ᾧ νόσος.) Τὰ ἀφῃρημένα ἐλήφθη ἀντὶ τῶν συγκεκριμένων· οἷον· ἐν ᾧ οἱ νοσοῦντες καρτερῶς ἅμα καὶ εὐχαρίστως πρὸς τὸν Θεὸν φέρουσι τὴν νόσον· οἱ δυστυχεῖς μακαρίζουσιν ἑαυτοὺς διὰ τὴν τύχην, καὶ οἱ συμπαθεῖς καὶ ἐλεήμονες δοκιμάζονται. — 4. Ἑπτάπυλοι.) Ἐκ τοῦ Ὁμήρου εἴληπται· Ἰλ. Δ'. στίχ. 106. Περίφημοι δὲ εἰσιν αἱ Θῆβαι διὰ τὰ μυθολογούμενα περὶ αὐτῆς· Ἀμφίων γάρ, φασιν, ὁ Διὸς καὶ Ἀντιόπης διὰ τῆς συμφωνίας τῆς ἰδίας λύρας ἔκτισε τὰς Θήβας· οἱ γὰρ λίθοι ὑπὸ τῆς ἁρμονίας [ἀφ' ἑαυτῶν συνήρχοντο ἕκαστος εἰς τὸν ἴδιον τόπον, καὶ τὰ τείχη οὕτως ἐκτίσθη. — 5. Καὶ Αἰγύπτιαι.) Θῆβαι δηλ. ἃς ἑκατομπύλους λέγει Ἰλ. Ι'. στίχ. 383. Ὅμηρ. ἣν Ὄσιρις ἐτείχισε· Ταύτης φησὶν αὐτόθι ὁ σχολιαστὴς τὸ πλῆθος ἦν ἑπτακόσιαι μυριάδες· ἐξ ἑκάστης δὲ πύλης ἐστράτευον ὁπλῖται μὲν μύριοι, ἱππεῖς δὲ χίλιοι, ἁρματηλάται δὲ διακόσιοι. — 6. Τείχη Βαβυλώνια.) Τούτων γὰρ τὸ μὲν πλάτος ὀγδοήκοντα καὶ ἑπτὰ ποδῶν, τὸ δ' ὕψος τριακοσίων πεντήκοντα· ἡ δὲ περίοδος, σταδίους τετρακοσίους καὶ ὀγδοήκοντα, σχῆμα δὲ τετράγωνον· ᾠκοδόμησε δὲ Σεμίραμις ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου. Ἡρόδ. Κλειώ. ρή. . . . ρπό. — 7. Καὶ Μαυσώλου.) Ἀρτεμισία, γυνὴ

**Κ**ολοσσοῦ[9] χαλκὸς ἄμετρος, ἡ ναῶν μεγέθη[10] καὶ κάλλη τῶν μηκέτι ὄντων, ἄλλα τε, ὅσα θαυμάζουσιν ἄνθρωποι,[11] καὶ ἱστορίας διδόασιν· ὧν οὐδὲν τοὺς ἐγείραντας, πλὴν δόξης ὀλίγης, ὤνησεν. Ἐμοὶ δὲ θαυμασιώτατον ἡ σύντομος τῆς σωτηρίας ὁδὸς, ἡ ῥάστη πρὸς οὐρανὸν ἀνάβασις. Οὐκ ἔτι πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα δεινὸν καὶ ἐλεεινόν· ἄνθρωποι νεκροὶ πρὸ θανάτου, καὶ τετελευτηκότες τοῖς πλείστοις τοῦ σώματος μέλεσιν, ἀπελαυνόμενοι πόλεων, οἰκιῶν, ἀγορῶν, ὑδάτων, αὐτῶν τῶν φιλτάτων, ὀνόμασι μᾶλλον ἢ σώμασι γνωριζόμενοι. Οὐδὲ προτίθενται συνόδοις τε καὶ συλλόγοις κατὰ συζυγίαν τε καὶ συνῳδίαν, μηκέτ' ἐλεούμενοι διὰ τὴν νόσον, ἀλλὰ μισούμενοι· σοφισταὶ μελῶν[12] ἐλεεινῶν, εἴ τισι καὶ φωνὴ λείπεται. Τί ἂν ἅπαντα ἐκτραγῳδοίην τὰ ἡμέτερα οὐκ ἀρκοῦντος τοῦ λόγου τῷ πάθει; Ἀλλ' ἐκεῖνός γε μάλιστα πάντων ἔπεισεν ἀνθρώπους ὄντας, ἀνθρώπων μὴ καταφρονεῖν, μηδ' ἀτιμάζειν Χριστὸν, τὴν μίαν πάντων κεφαλὴν,[13] διὰ τῆς εἰς ἐκείνους ἀπανθρωπίας· ἀλλ' ἐν ταῖς συμφοραῖς, τὰ οἰκεῖα εὖ τίθεσθαι, καὶ δανίζειν[14] Θεῷ τὸν ἔλεον, ἐλέου χρήζοντας. Διὰ τοῦτο οὐδὲ τοῖς χείλεσιν ἀπηξίου τιμᾷν τὴν νόσον ὁ εὐγενής τε καὶ τῶν εὖ γεγονότων, καὶ τὴν δόξαν ὑπέρλαμπρος· ἀλλ' ὡς ἀδελφοὺς ἠσπάζετο, οὐχ, ὥσπερ ἄν τις ὑπολάβοι, κενοδοξῶν, (τίς γὰρ τοσοῦτον ἐπεῖχε τοῦ πάθους;[15]) ἀλλὰ τὸ προσιέναι τοῖς σώμασιν ἐπὶ θεραπείᾳ διὰ τῆς ἑαυτοῦ φιλοσοφίας τυπῶν, καὶ φθεγγομένη[16] καὶ σιωπῶσα παραίνεσις. Καὶ οὐχ ἡ μὲν πόλις οὕτως,[17] ἡ χώρα δὲ καὶ τὰ ἐκτὸς ἑτέρως· ἀλλὰ κοινὸν ἅπασιν ἀγῶνα προὔθηκε τοῖς

---

Μαυσώλου βασιλέως Καρίας, τοσοῦτον ἠγάπησε τὸν ἄνδρα, ὥστε προσέταξε δείμασθαι αὐτῷ θανόντι μνημεῖον μεγαλοπρεπὲς, ἐν Ἀλικαρνασσῷ, ἐν μέσῳ τῶν βασιλείων καὶ τοῦ τῆς Ἀφροδίτης ναοῦ, περίοδον μὲν ποδῶν τετρακοσίων ἕνδεκα, ὕψος δὲ πέντε πήχεων, εἶχε δὲ στύλους τριάκοντα ἕξ· καὶ πυραμὶς ἦν ἐπ' αὐτοῦ ποδῶν ἑκατὸν τεσσαράκοντα καὶ ἑνός. — 8. Πυραμίδες.) Αἱ ἐν Αἰγύπτῳ· εἰσὶ δὲ τρεῖς, διακόσια βήματα ἀπ' ἀλλήλων ἀπέχουσι· τούτων τῆς μεγίστης τὸ ὕψος καὶ τὸ πλάτος μέγιστον· μῆκος μὲν γὰρ πέντε στάδιοι, εὖρος δὲ δέκα ὀργυιαὶ, ὕψος δὲ ὀκτὼ ὀργυιαί φησὶν Ἡρόδοτ. Εὐτέρπ. ρκδ΄. . . . ρκζ΄. — 9. Κολοσσοῦ.) Ἄγαλμα Ἀπόλλωνος ἐκ χαλκοῦ ἐν Ῥόδῳ τοσούτου ὕψους, ὥστε ὑπὸ τὰ σκέλη αὐτοῦ διήρχοντο νῆες ἐν τοῖς ἱστίοις· περὶ οὗ φασὶν ὑπὸ σεισμοῦ πεσόντος, μετὰ ἑκατὸν ἐννενήκοντα ἐνιαυτοὺς εὑρεθῆναι μέρη αὐτοῦ τινα ἕλκοντα βάρος 7200 ταλάντων. — 10. Ναῶν μεγέθη.) Ὁ ἐν Ἐφέσῳ ναὸς τῆς Ἀρτέμιδος τετρακοσίων καὶ πέντε ποδῶν τὸ μῆκος, διακοσίων εἴκοσι τὸ πλάτος, ἑκατὸν καὶ εἴκοσι στύλους, ἑξήκοντα ποδῶν τὸ ὕψος· ὃν ἔκαυσεν Ἐρόστρατος τῇ ἑκατοστῇ ἕκτῃ ὀλυμπιάδι, ἀθάνατον μνήμην καταλιπεῖν τοῦ ἰδίου ὀνόματος βουλόμενος. — 11. Ἄνθρωποι.) Ἐξήγησις τοῦ ἐλεεινοῦ θανάτου· τοὺς λεπροὺς καὶ λελωβημένους ἐννοεῖ. — 12. Σοφισταὶ μελῶν.) Οἱ γὰρ λεπροὶ ἐρευριστικόν τινα μέλη εἰς οἶκτον κινοῦντα, καὶ ᾖδον αὐτὰ τοῖς παριοῦσιν, ἵνα τι ἐλεήσωσιν αὐτούς. — 13. Τὴν μίαν . . κεφαλήν.) Παῦλ. Ἐφεσ. δ΄. 15. — 14. Δανείζειν.) Ὁ γὰρ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ· φησὶ Σολομὼν, Παροιμ. ιθ΄. 17. — 15. Τοῦ πάθους.) Τῆς κενοδοξίας δηλ. — 16. Καὶ φθεγγομένη.) Ἐννοεῖται Γινόμενος. — 17. Οὕτως.) Εἶχε πρὸς τοὺς νοσοῦντας.

τῷ λαῷ προεστῶσι τὴν εἰς αὐτούς[18] φιλανθρωπίαν, καὶ μεγαλοψυχίαν.[19] Καὶ ἄλλων[20] μὲν οἱ ὀψοποιοί, καὶ αἱ λιπαραὶ τράπεζαι, καὶ τὰ μαγείρων μαγγανεύματα καὶ κομψεύματα, καὶ οἱ φιλόκαλοι δίφροι, καὶ τῆς ἐσθῆτος ὅση μαλακή τε καὶ περιῤῥέουσα. Βασιλείου δὲ, οἱ νοσοῦντες καὶ τὰ τῶν τραυμάτων ἄκη, καὶ ἡ Χριστοῦ μίμησις, οὐ λόγῳ μὲν, ἔργῳ δὲ λέπραν[21] καθαίροντος.

§ 73. Πρὸς ταῦτα τί φήσουσιν ἡμῖν οἱ τὸν τῦφον ἐγκαλοῦντες ἐκείνῳ καὶ τὴν ὀφρῦν; οἱ πικροὶ τῶν τηλικούτων κριταί, καὶ τῷ κανόνι τοὺς οὐ κανόνας[2] προσάγοντες; Ἔστι λεπροὺς μὲν ἀσπάζεσθαι, καὶ μέχρι τούτου συνταπεινοῦσθαι, τῶν δὲ ὑγιαινόντων κατοφρυᾶσθαι; καὶ τήκειν μὲν τὰς σάρκας δι' ἐγκρατείας, τὴν ψυχὴν δὲ οἰδαίνειν κενῷ φρυάγματι; Καὶ τοῦ μὲν Φαρισαίου[3] καταγινώσκειν, καὶ διηγεῖσθαι τὴν ἐξ ὄγκου ταπείνωσιν, καὶ Χριστὸν εἰδέναι μέχρι δούλου[4] μορφῆς κατελθόντα, καὶ τελώναις συνέσθοντα,[5] καὶ νίπτοντα[6] τοὺς πόδας τῶν μαθητῶν, καὶ σταυρὸν οὐκ ἀπαξιοῦντα, ἵνα προσηλώσῃ τὴν ἐμὴν ἁμαρτίαν. Καί τοι τί τούτου παραδοξότερον, Θεὸν σταυρούμενον βλέπειν, καὶ τοῦτον μετὰ λῃστῶν, καὶ ὑπὸ τῶν παριόντων γελώμενον,[7] τὸν ἀνάλωτον καὶ τοῦ παθεῖν ὑψηλότερον· αὐτὸν δὲ[8] ὑπερνεφεῖν, καὶ μηδὲν γινώσκειν ὁμότιμον, ὃ δοκεῖ τοῖς ἐκείνῳ βασκαίνουσιν. Ἀλλ' οἶμαι, τὸ τοῦ ἤθους εὐσταθὲς καὶ ἀπεξεσμένον,[9] τῦφον ὠνόμασαν· οἱ δ' αὐτοί μοι δοκοῦσι ῥᾳδίως ἂν, καὶ τὸν ἀνδρεῖον καλέσαι θρασύν· καὶ δειλὸν, τὸν περιεσκεμμένον· καὶ τὸν σώφρονα, μισάνθρωπον· καὶ τὸν δίκαιον, ἀκοινώνητον. Καὶ γὰρ οὐ φαύλως τοῦτό τινες πεφιλοσοφήκασιν· ὅτι παραπεπήγασι[10] ταῖς ἀρεταῖς αἱ κακίαι, καὶ εἰσί πως ἀγχίθυροι, καὶ ῥᾷστον ἄλλο τι ὄντα ἕτερον νομισθῆναι τοῖς μὴ τὰ τοιαῦτα πεπαιδευμένοις. Τίς γὰρ ἐκείνου μᾶλλον ἢ ἀρετὴν ἐτίμη-

---

— 18. Εἰς αὐτούς.) Τοὺς λεπρούς. — 19. Καὶ μεγαλοψυχίαν.) Τὸ μὴ φοβεῖσθαι δηλ. ἀλλὰ πλησιάζειν εἰς τὴν τῶν λελωβημένων θεραπείαν. — 20. Καὶ ἄλλων.) Ἐννοεῖται, Εἰσί. — 21. Ἔργῳ δὲ λέπραν.) Ὁ μὲν γὰρ Χριστὸς λόγῳ τοὺς λεπροὺς ἐκάθηρε· Ματθ. ή. 2. . . . 4. Λουκ. έ. 12 . . 14. ὁ δὲ μέγ. Βασίλ. θεραπεύων αὐτοῖς ἔργῳ.

§ 73. 2. Τῷ κανόνι τοὺς οὐ κανόνας.) Οἱ κανονίζειν δηλαδὴ καὶ ὀρθοῦν βουλόμενοι τὸν μέγ. Βασίλ. ἀκανόνιστοι ὄντες αὐτοὶ καὶ πεπτωκότες. — 3. Φαρισαίου.) Λουκ. ιή. 10. . . . 14. ὁ γὰρ Φαρισαῖος ἀλαζονευόμενος, οὐκ ἐδικαιώθη, φησίν· ὁ δὲ Τελώνης ταπεινούμενος, ἐδικαιώθη· ἀμφότεροι δὲ προσηύχοντο ἐν τῷ ἱερῷ, ὁ γὰρ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται, ὁ δὲ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται. — 4. Μέχρι δούλου.) Παῦλ. πρὸς Φιλιππησ. β'. 7. Ἑαυτὸν ἐκένωσεν (ὁ υἱὸς τοῦ Θεοῦ), μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. — 5. Συνέσθοντα.) Λουκ. έ. 29. 31. — 6. Νίπτοντα.) Ἰωάνν. ιγ'. 4. . . 11. — 7. Γελώμενον.) Οἱ γὰρ Ἰουδαῖοι, οἱ παραπορευόμενοι, ἐβλασφήμουν ὁρῶντες τὸν Κύριον ἐν σταυρῷ, καὶ ἔλεγον· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ κατάβηθι ἀπὸ τοῦ σταυροῦ· Ματθ. κζ'. 40. — 8. Αὐτὸν δὲ.) Τὸν μέγ. Βασίλ. δηλ. ὑπὲρ τὰ νέφη ὑπεραίρεσθαι. — 9. Ἀπεξεσμένον.) Εἴτ' οὖν γεγυμνασμένον καὶ ἐξηκριβωμένον. — 10. Παραπεπήγασι.) Μένανδρος γάρ φησιν.

Ἐγγὺς ἀγαθῷ κακὸν παραπέφυκε

σεν, ἡ κακίαν ἐκόλασεν, ἡ χρηστὸς ὤφθη τοῖς κατορθοῦσιν, ἡ τοῖς ἁμαρτάνουσιν ἐμβριθής, οὗ καὶ τὸ μειδίαμα πολλάκις, ἔπαινος ἦν, καὶ τὸ σιωπᾷν, ἐπιτίμησις, οἰκείῳ συνειδότι τὸ κακὸν βασανίζουσα; Εἰ δὲ μὴ στωμύλος τις ἦν, μηδὲ γελοιαστὴς, καὶ ἀγοραῖος, μηδὲ τοῖς πολλοῖς ἀρέσκων ἐκ τοῦ πᾶσι πάντα γίνεσθαι, καὶ χαρίζεσθαι· τί τοῦτο;[11] Οὐκ ἐπαινετέος μᾶλλον ἢ μεμπτέος τοῖς γε νοῦ ἔχουσιν; Εἰ μὴ καὶ τὸν λέοντα αἰτιῷτό τις, ὅτι μὴ πιθήκειον βλέπει, ἀλλὰ βλοσυρὸν καὶ βασιλικὸν, οὗ καὶ τὰ σκιρτήματα γενναῖα, καὶ μετὰ θαύματος ἀγαπώμενα. Καὶ τοὺς ἐπὶ σκηνῆς[12] θαυμάζοι, ὡς ἡδεῖς τε καὶ φιλανθρώπους, ὅτι τοῖς δήμοις χαρίζονται, καὶ κινοῦσι γέλωτα τοῖς ἐπὶ κόῤῥης ῥαπίσμασι καὶ ψοφήμασι. Καί τοι, κἂν εἰ[13] τοῦτο ζητοίημεν, τίς μὲν οὕτως ἡδὺς ἐν ταῖς συνουσίαις, ὅσα ἐμὲ γινώσκειν,[14] τὸν μάλιστα ἐκείνου πεπειραμένον, τίς διηγήσασθαι χαριέστερος, τίς μὲν σκῶψαι παιδευτικῶς; τίς δὲ καθάψασθαι ἀπαλῶς, καὶ μήτε τὴν ἐπιτίμησιν θράσος ποιῆσαι, μήτε τὴν ἄνεσιν ἔκλυσιν; ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν φυγεῖν, ἀμφοτέροις σὺν λόγῳ καὶ καιρῷ χρώμενον, κατὰ τοὺς Σολομῶντος νόμους,[15] παντὶ πράγματι καιρὸν διατάξαντος;

§ 74. Ἀλλὰ τί ταῦτα[2] πρὸς τὴν ἐν λόγοις τοῦ ἀνδρὸς ἀρετὴν, καὶ τὸ τῆς διδασκαλίας κράτος, τὰ πέρατα οἰκειούμενον; Ἔτι περὶ τοὺς πρόποδας τοῦ ὄρους στρεφόμεθα, τῆς ἄκρας[3] ἀπολειπόμενοι· ἔτι πορθμὸν διαπερῶμεν, ἀφέντες τὸ μέγα καὶ βαθὺ πέλαγος.[4] Οἶμαι γὰρ, εἴ τις ἐγένετο, ἢ γενήσεται,[5] σάλπιγξ ἐπὶ πολὺ τοῦ ἀέρος φθάνουσα, ἢ Θεοῦ φωνὴ,[6] τὸν κόσμον περιλαμβάνουσα, ἢ σεισμὸς οἰκουμένης ἔκ τινος καινοτομίας καὶ θαύματος,[7] ταῦτα[8]

---

καὶ Ἀριστοτέλης, ἀρεταῖς εἶναι τὰς κακίας ἀγχίθυρα, φησί. — 11. Τί τοῦτο;) Τί κακόν ἐστι τοῦτο; — 12. Τοὺς ἐπὶ σκηνῆς.) Τοὺς ὑποκριτὰς δηλ. τοῦ θεάτρου, χαριζομένους τῷ δήμῳ, καὶ ἡδεῖς καὶ φιλανθρώπους ἑαυτοὺς παριστάντας, ἵνα κινήσωσι γέλωτα. — 13. Κἂν εἰ.) Ἐκ παραλλήλου κεῖνται τὰ δύο ὑποθετικά· ὅτι μὴ ἐάν τις τὸν μὲν Κἂν ἐλαττωτικὸν εἴποι· τὸν δὲ Εἰ ὑποθετικόν· οἷον· εἰ γοῦν καὶ τοῦτο ζητοίημεν. — 14. Ὅσα ἐμὲ γινώσκειν.) Συνήθης ἡ φράσις παρ' Ἕλλησιν· οἷον· καθ' ὅσον ἐστὶν ἐμὲ γινώσκειν. — 15. Κατὰ τοὺς Σολομῶντος νόμους.) Ἐκκλησ. γ'.

§ 74. 2. Τί ταῦτα.) Εἰσὶ δηλ. Ταῦτα δηλ. τὰ εἰρημένα παραβαλλόμενα τῇ ἀρετῇ τῶν λόγων οὐδέν ἐστι. — 3. Τῆς ἄκρας.) Τοῦ ὕψους δηλ. τῆς ἀρετῆς τοῦ μεγ. Βασιλ. — 4 Καὶ βαθὺ πέλαγος.) Τῆς ἀρετῆς τοῦ ἀνδρός. — 5. Εἴ τις ἐγένετο, ἢ γενήσεται.) Ἐγένετο μὲν ἡ τοῦ Εὐαγγελικοῦ τῶν Ἀποστόλων κηρύγματος· γενήσεται δὲ ἡ ἐν τῇ συντελείᾳ τοῦ κόσμου, εἰς τὴν νεκρῶν ἐξανάστασιν· ὡς ὁ Παῦλος Πρὸς Κορινθ. Α'. ιε'. 52. καὶ πρὸς Θεσσαλ. Α'. δ'. 16. λέγει. — 6. Ἡ Θεοῦ φωνή.) Προσκαλοῦσα τὸν κόσμον, ἥ φησι Δαβίδ. Ψαλμ. μθ'. Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. — 7. Ἔκ τινος καινοτομίας καὶ θαύματος.) Οὕτως οὖν ἀπὸ Εἰδωλολατρείας μετεβλήθησαν διὰ Μωϋσέως οἱ Ἰουδαῖοι εἰς τὴν τοῦ Θεοῦ λατρείαν, καὶ πάντα τὰ ἔθνη εἰς Χριστιανοὺς μετεβλήθησαν διὰ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· Θεωρείσθω δὲ καὶ τὰ τοῦ Λουκᾶ. κά. 12. — 8. Ταῦτα.) Τὰ εἰρημένα, καὶ σάλπιγγα δηλονότι, καὶ θεοῦ φωνὴν, καὶ σεισμὸν,

εἶναι τὴν ἐκείνου φωνὴν καὶ διάνοιαν, τοσοῦτον ἅπαντας ἀπολείπουσαν, καὶ κάτω τιθεῖσαν, ὅσον τὴν τῶν ἀλόγων φύσιν ἡμεῖς.[9] Τίς μὲν ἑαυτὸν ἐκάθηρε μᾶλλον τῷ πνεύματι, καὶ ἄξιον τοῦ διηγεῖσθαι τὰ θεῖα παρεσκεύασε; Τίς δὲ μᾶλλον ἐφωτίσθη φῶς γνώσεως, καὶ διέκυψεν εἰς τὰ βάθη τοῦ πνεύματος, καὶ μετὰ Θεοῦ τὰ περὶ Θεοῦ διεσκέψατο; Τί δὲ λόγον ἔσχεν ἀμείνω τῶν νοηθέντων ἑρμηνευτήν; ὡς μηδ' ἑτέρῳ σκάζειν κατὰ τοὺς πολλούς, ἢ νῷ λόγον οὐκ ἔχοντι, ἢ λόγῳ μὴ κατὰ νοῦν βεβηκότι, ἀλλ' ἀμφοτέρωθεν ὁμοίως εὐδοκιμεῖν, καὶ αὐτὸν ἴσον ἑαυτῷ φαίνεσθαι καὶ ὄντως ἄρτιον. Πάντα μὲν ἐρευνᾷν καὶ τὰ βάθη[10] τοῦ Θεοῦ τῷ πνεύματι μεμαρτύρηται, οὐχ ὡς ἀγνοοῦντι, ἀλλ' ὡς ἐντρυφῶντι τῇ θεωρίᾳ. Πάντα δὲ ἐκείνῳ διηρμήνευται τὰ τοῦ πνεύματος, ἐξ ὧν ἦθος ἅπαν ἐπαίδευσε, καὶ ὑψηγορίαν[11] ἐδίδαξε, καὶ τῶν παρόντων ἀπανέστησε, καὶ πρὸς τὰ μέλλοντα μετεσκεύασεν. Ἡλίου μὲν ἐπαινεῖται παρὰ τῷ Δαβὶδ[12] κάλλος καὶ μέγεθος, καὶ δρόμου τάχος καὶ δύναμις, λάμποντος ὡς νυμφίου, εὐμεγέθους ὡς γίγαντος. Οὗ καὶ τὸ πολὺ διαβαίνειν, ἔχει δύναμιν τοσοῦτον, ὡς ἀπ' ἄκρων τὰ ἄκρα ἰσοτίμως καταφωτίζειν καὶ μηδὲν ἐλαττοῦσθαι τὴν θέρμην τοῖς διαστήμασι. Τοῦ δὲ[13] κάλλος μὲν ἡ ἀρετή, μέγεθος δὲ ἡ θεολογία, δρόμος δὲ τὸ ἀεικίνητον, καὶ μέχρι Θεοῦ φέρον ταῖς ἀναβάσεσι, δύναμις δέ, ἡ τοῦ λόγου σπορὰ καὶ διάδοσις. Ὥστε ἔμοιγε, οὐδὲ τοῦτο εἰπεῖν ὀκνητέον, τὸ εἰς πᾶσαν[14] τὴν γῆν ἐξελθεῖν τὸν φθόγγον αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν ῥημάτων τὴν δύναμιν, ὃ περὶ τῶν Ἀποστόλων ὁ Παῦλος ἔφησε παρὰ Δαβὶδ ἐκλεξάμενος.

§ 75. Τίς μὲν ἄλλη[2] συλλόγου σήμερον χάρις; τίς δὲ συμποσίων ἡδονή; τίς δὲ ἀγορῶν; τίς δὲ Ἐκκλησιῶν; τίς τῶν ἐν τέλει καὶ τῶν μετ' ἐκείνους τρυφή; τίς μοναστῶν ἢ μιγάδων; τίς τῶν ἀπραγμόνων, ἢ τῶν ἐν πράγμασι; τίς τῶν τὰ ἔξωθεν φιλοσοφούντων, ἢ τὰ ἡμέτερα; Μία καὶ διὰ πάντων[3] καὶ ἡ μεγίστη, τὰ ἐκείνου συγγράμματα καὶ πονήματα. Οὐδὲ γραφεῦσιν εὐπορία τις ἄλλη μετ' ἐκεῖνον, ἢ τὰ ἐκείνου συγγράμματα· σιωπᾶται τὰ παλαιά, ὅσα τινὲς τοῖς

---

καὶ τοιαῦτα· τὸ δὲ ἀπαρέμφατον δῆλον ὅτι ἀπὸ τοῦ Οἶμαι ἐξαρτᾶται. — 9. Ἡμεῖς.) Ἀπολείπομεν δηλ. — 10. Καὶ τὰ βάθη.) Παῦλ. Κορινθ. Α΄. β΄. 10. — 11. Ὑψηγορίαν.) Τὴν Θεολογίαν δηλ. ὡς φησὶ Νικήτας. — 12. Παρὰ τῷ Δαβίδ.) Ψαλμ. ιη΄. 5. »Καὶ αὐτὸς (ὁ ἥ»λιος) ὡς νυμφίος ἐκπορευόμενος ἐκ πα»στοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας »δραμεῖν ὁδὸν αὐτοῦ· ἀπ' ἄκρου τοῦ »οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κα»τάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρα»νοῦ· καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται »τῆς θέρμης αὐτοῦ.« — 13. Τοῦ δέ.) Μεγ. Βασιλ. — 14. Εἰς πᾶσαν.) Ψαλμ. ιη΄. 4. Πρὸς Ῥωμ. ι. 18.

§ 75. 2. Τίς μὲν ἄλλη;) Ὅσοι δηλ. συλλέγονται σήμερον εἰς τὴν Ἐκκλησίαν, ποίαν ἄλλην μείζω ἡδονὴν ἔχουσι τῶν τοῦ μεγ. Βασιλ. συγγραμμάτων. — 3. Μία καὶ διὰ πάντων.) Ἀπάντησις τῶν κατ' ἐρώτησιν λεγομένων· οἷον πᾶσιν ἡδονὴ μία καὶ

θείοις λόγοις ἐνίδρωσαν, βοᾶται τὰ νέα, καὶ οὗτος ἄριστος ἡμῖν ἐν λόγοις, ὃς ἂν τὰ ἐκείνου μάλιστα τυγχάνει γινώσκων, καὶ διὰ γλώσσης[4] φέρων, καὶ συνετίζων τὰς ἀκοάς. Ἤρκεσε γὰρ εἰς ἀντὶ πάντων τῶν σπουδαιοτέρων εἰς παίδευσιν. Ἐγὼ τοῦτο μόνον αὐτοῦ διηγήσομαι. Ὅταν τὴν Ἑξαήμερον[5] αὐτοῦ μεταχειρίζομαι, καὶ διὰ γλώσσης φέρω, μετὰ τοῦ κτίστου γίνομαι, καὶ γινώσκω κτίσεως λόγους, καὶ θαυμάζω τὸν κτίστην πλέον ἢ πρότερον, ὄψει μόνῃ διδασκάλῳ χρώμενος. Ὅταν τοῖς ἀντιῤῥητικοῖς[6] εὐτύχω λόγοις, τὸ Σοδομητικὸν[7] ὁρῶ πῦρ, ᾧ τεφροῦνται γλῶσσαι πονηραὶ καὶ παράνομοι, ἢ τὸν Χαλάνης πύργον,[8] κακῶς μὲν οἰκοδομούμενον, καλῶς δὲ λυόμενον. Ὅταν τοῖς περὶ Πνεύματος,[9] εὑρίσκω Θεὸν, ὃν ἔχω, παῤῥησιάζομαι τὴν ἀλήθειαν, ἐπιβατεύων τῆς ἐκείνου θεολογίας καὶ θεωρίας. Ὅταν ταῖς ἄλλαις ἐξηγήσεσιν, ἃς τοῖς μικρὰ βλέπουσιν ἀναπτύσσει, τρισσῶς[10] ἐν ταῖς στεραῖς ἑαυτοῦ πλαξὶ τῆς καρδίας ἀπογραψάμενος, πείθομαι μὴ μέχρι τοῦ γράμματος ἵστασθαι μηδὲ βλέπειν τὰ ἄνω μόνον, ἀλλὰ καὶ περαιτέρω διαβαίνειν· καὶ εἰς βάθος ἔτι χωρεῖν ἐκ βάθους, ἄβυσσον[11] ἀβύσσῳ προσκαλούμενος, καὶ φωτὶ φῶς εὑρίσκων, μέχρις ἂν φθάσω πρὸς τὸ ἀκρότατον. Ὅταν ἀθλητῶν[12] ἐγκωμίοις προσομιλήσω, περιφρονῶ τὸ σῶμα, καὶ σύνειμι τοῖς ἐπαίνοις, καὶ πρὸς τὴν ἄθλησιν διεγείρομαι. Ὅταν ἠθικοῖς λόγοις καὶ πρακτικοῖς, καθαίρομαι ψυχὴν καὶ σῶμα, καὶ ναὸς Θεοῦ γίνομαι δεκτικός· καὶ ὄργανον κρουόμενον πνεύματι, καὶ θείας ὑμνῳδὸν δόξης τε καὶ δυνάμεως. Τούτῳ[13] μεθαρμόζομαι καὶ ῥυθμίζομαι, καὶ ἄλλος ἐξ ἄλλου γίνομαι, τὴν θείαν ἀλλοίωσιν[14] ἀλλοιούμενος.

---

μεγίστη ἐστὶ τὰ ἐκείνου. — 4. Καὶ διὰ γλώσσης.) Ἐκ στήθους δηλ. λέγων· ἢ ἀποστοματίζων, ὡς ἡμεῖς λέγομεν. — 5. Ἑξαήμερον) Συγγράμματα τοῦ μεγάλου Βασιλ. εἰς τὴν τοῦ κόσμου παρὰ Θεοῦ ἐν ἓξ ἡμέραις δημιουργίαν. — 6. Τοῖς ἀντιῤῥητικοῖς.) Τὰ κατὰ Εὐνομίου δηλ. αὐτοῦ ἀνασκευαστικὰ συγγράμματα. Ἦν δὲ ὁ Εὐνόμιος Κυζίκων ἐπίσκοπος, ὑπὸ Εὐδοξίου γενόμενος. — 7. Σοδομητικόν.) Ἐπειδὴ γὰρ ἐν Σοδόμοις πᾶν κακὸν ἐπράττετο, Κύριος ὀργισθεὶς κατ᾽ αὐτῶν, ἔβρεξε πῦρ ἐξ οὐρανοῦ, καὶ κατέκαυσε τὰ Σόδομα, καὶ τὰ περίχωρα αὐτῶν. Γενέσ. ιθʹ. 24. — 8. Τὸν Χαλάνης πύργον.) Τὴν ἐν Βαβυλῶνι λέγει πυργοποιΐαν, ἀπὸ Ἡσαΐου τοῦ προφήτου λαβὼν, ὃς λέγει· Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλάνης, οὗ ὁ πύργος ᾠκοδομήθη· κεφ. ί. 9. οἱ γὰρ ἀπόγονοι τοῦ Νῶε πύργον οἰκοδομῆσαι διενοήθησαν μέγαν, εἰς αἰώνιον αὐτῶν μνημόσυνον· καὶ ὁ Θεὸς συνέχεεν αὐτῶν τὰς γλώσσας, καὶ διεσκορπίσθησαν. Γενέσ. ιά. 3 . . . 9. Ἐννοεῖ δὲ τὰ Εὐνομίου συγγράμματα. — 9. Ὅταν τοῖς περὶ Πνεύματος) Ἐντυγχάνω δηλ. συγγράμμασιν, ἐν τριάκοντα κεφαλαίοις πρὸς Ἀμφιλόχιον συγγραφεῖσι. — 10. Τρισσῶς.) ἱστορικῶς δηλ. κατὰ τὸ γράμμα, ἠθικῶς, καὶ ἀναγωγικῶς· ἔστι δὲ ἐκ τῶν Σολομῶντος παροιμιῶν ἡ φράσις· κεφ. κβʹ. 20. λέγοντος· « Καὶ σὺ δὲ, ἀπόγραψαι αὐτὰ σεαυτῷ τρισσῶς εἰς βουλὴν καὶ γνῶσιν ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. » — 11 Ἄβυσσον.) Ψαλμ. μά. 7. λέ. 6. — 12. Ἀθλητῶν.) Συνέγραψε γὰρ πρὸς Βαρλαὰμ μάρτυρα· καὶ πρὸς τοὺς Τεσσαράκοντα μάρτυρας. — 13. Τούτῳ) Τῷ πνεύματι δηλ. — 14. Τὴν θείαν ἀλλοίωσιν.) Καθάπερ φη-

Ε.Υ.Α της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006